ὦ στέφανε, χαίρων ἄπιθι, καί σ' ἄκων ἐγὼ
λείπω· σὲ δ' ἄλλος τις λαβὼν κεκτήσεται,
κλέπτης μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
ΑΛ. Ἑλλάνιε Ζεῦ, σὸν τὸ νικητήριον.
ΧΟ. ὦ χαῖρε καλλίνικε, καὶ μέμνησ' ὅτι
ἀνὴρ γεγένησαι δι' ἐμέ· καί σ' αἰτῶ βραχύ,
ὅπως ἔσομαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.
ΔΗ. ἐμοὶ δέ γ' ὅ τι σοι τοὔνομ' εἴπ'. ΑΛ. Ἀγοράκριτος·

καὶ διηκόνουν (κἀδιακόνουν recte Dind.). Sed augmentum in hujus formae verbis, i. e. in -έσκω desinentibus, omitti solere vix opus est ut moneam. Sic Hom. Il. α'. 490. πωλέσκετο. Od. ω'. 208. σιτέσκοντο. Aesch. Fr. 285. κλαίεσκον. Soph. Ant. 963. παύεσκε. Theocr. 24, 19. λάμπεσκε. Herod. II. 174. κλέπτεσκε. VII. 106. πέμπεσκε. 119. σιτεύεσκον. IX. 74. βαλλέσκετο.

1244. ἐλπὶς ἔστ' V.Γ.Δ.Θ. ἐλπίς ἐστ' A.B.R. &c. vulg. Qu. ἐλπὶς ἔστ' ἔτ'.

1245. καί μοι] Qu. ἄγε μοι. πότερον ἐν ἀγ.] Qu. πότερ' ἐν τἀγορᾷ. Cf. 1258.

1247. πύλαισιν A.R.S.V. πύλαις B pr. C.P. οὗ A.C.R.V. &c. οὗ καὶ B.

1248. πέπρακται inepte vulg. κέκρανται conj. Kock. πεπέρανται conj. Mein. Cf. Vesp. 799. ὅρα τὸ χρῆμα, τὰ λόγι' ὡς περαίνεται. Phoen. 1703. Qu. τελεῖται.

1249. κυλίνδετέ μ' εἴσω R.

1250. καί σ' ἄκων] κεἴ σ' ἄκων conj. Bergk. κἂν σ' ἄκων Mein. Qu. μάλα σ' ἄκων. Vel κατά σ' ἄκων. Vel potius ἄπιθ', ἐπεί σ' ἄκων ἐγὼ . . .

1252. οὐκ ἂν] οὐχὶ Suidas in κλέπτης et οὐχὶ μᾶλλον. probat Porson. Reponendum videtur aut οὐχὶ (οὔτι) aut οὐκ ὤν. Quod si vera est vulgata, constructio haec esse putanda erit, ὃς κλέπτης μὲν οὐκ ἂν μᾶλλον γένοιτο. Cf. Eur. Med. 1229. ὄλβου δ' ἐπιρρυέντος εὐτυχέστερος | ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.

1253. ΑΛ. om. R. ΧΟ. A. ἐλλάνιε Θ. et lemma scholii in V. Ἀλλάντιε Ζεῦ conj. Burges. ad Aesch. Suppl. 1., coll. Hesychii gl: Διὶ συκασίῳ· παραπεποίηται παρὰ τὸ συκοφαντεῖν. Fortasse recte.

1254. ΧΟ. vulg. schol. Mein. Bergk. Ko. Dind. Ribb. Vels. ΔΗ. (i. e. Δῆμος pr., Δημοσθένης corr.) R. Bekk.

1256. ἔσομαί σοι R.Γ γρ. et Suidas in Φανός. Bentl. Pors. Bekk. Dind. γένωμαί (-αι A.V.) σοι A.B.C.P.S.V.Γ.Δ.Θ.Χ. vulg. Γένωμαι correxit grammaticus aliquis, qui constructionem parum intelligeret et post ὅπως necessario requiri subjunctivum existimaret. Φανὸς vulg. Dind. Φᾶνος Ribb. Vels. conj. Mein. Nomen proprium Φανὸς legitur Vesp. 1220. Dem. p. 861. Alex. Athen. p. 161 B. Confer nomen Φανίας (Lat. 'Phanias,' Cic.).

1257. ἐμοί μέγ' A.Δ.Θ. Personae hic mutationem fieri docent verba ἐμοὶ

ἐν τἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.
ΔΗ. Ἀγορακρίτῳ τοίνυν ἐμαυτὸν ἐπιτρέπω
καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.
ΑΛ. καὶ μὴν ἐγώ σ', ὦ Δῆμε, θεραπεύσω καλῶς,
ὥσθ' ὁμολογεῖν σε μηδέν' ἀνθρώπων ἐμοῦ
ἰδεῖν ἀμείνω 'ν τῇ Κεχηναίων πόλει.
ΧΟ. τί κάλλιον ἀρχομένοισιν στρ.
ἢ καταπαυομένοισιν
ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν μηδὲν ἐς Λυσίστρατον,
μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν ἑκούσῃ καρδίᾳ;
καὶ γὰρ οὗτος, ὦ φίλ' Ἄπολλον, ἀεὶ πεινῇ, θαλεροῖς δακρύοισιν
σᾶς ἁπτόμενος φαρέτρας Πυθῶνι δίᾳ μὴ κακῶς πένεσθαι.

δε γ' . . . Sed corrigendum suspicor ἐμοὶ δ' ὅ τι σοὐστὶ τοὔνομ' εἴπ'. εἴπ' B.C.S.V. Med. 8. εἰπ' P.R.Γ.Δ.Θ. Med. 5. 8. εἶπε A. Med. 9.

1258. τἀγορᾷ A.C.Θ. (ἀ in ras.) τ' ἀγορᾷ R.S.V.Γ. Med. 8. τῇ ἀγορᾷ B. Ald. 1259. τοίνυν A.C.R.S.V.Γ.Δ.Θ. τοίνυν γ' B.X. Ald.

1261. ΑΛ. praef. A.B.R. &c. Ald. om. V pr. Med. 8. σ' C.R.S.V. &c. σε A.B.

1263. τῇ libri et vulg. 'ν τῇ Hirsch. Mein. Dind. ("Non enim de utilitate quam ille civitati allaturus est agitur, sed de benevolo in Demum animo.") Recte, opinor. Aliter enim dixisset περὶ τὴν Κεχηναίων πόλιν. Cf. 1208.

1264. ΧΟΡΟΣ] χοροῦ κομμάτιον R.

1266. θοᾶν B.C.P.R.V.Θ sec. &c. θοὰν A.Δ.Θ. ἐλατῆρος ἀΐδειν R.

1267. μηδὲν ἐς A.B.C. (sup. εἰς) S. μὴδὲν ἐς R.V. μηδὲν εἰς Suid. in ἀνέστιος et Θούμαντις. "Supplendum e sensu εἰπεῖν. Non expectata est horum cum antecedentibus conjunctio." DIND. Oratio hic impedita est, neque clarus evadit sensus, adeo ut semper mendosum hunc locum esse existimaverim. Omnia plana et clara fore mihi videbantur, si legeretur μηδ' ἀεὶ Λυσίστρατον, aut μηδὲ τὸν Λυσίστρατον. Jampridem non convenire ἐς Λυσίστρατον cum λυπεῖν monuerat Bentleius. Sed fortasse nil mutandum. Construe ἀείδειν μηδὲν ἐς Λυσίστρατον. Cf. Lys. 1243.

1268. τὸν add. A.B supr. C.R.S.V. Suid. in ἀνέστιος. Bekk. om. X. vulg.

1269. λυπεῖν etiam Suid. v. Λυσ. λιπεῖν idem v. Ἀνέστ. et Θούμ. "At ἐς Λυσίστρατον non convenit cum λυπεῖν." BENTL. λυπεῖν ἑκούσῃ καρδίᾳ] Qu. λύπῃ δακεῖν τὴν καρδίαν.

1270. οὑτοσὶ, ὦ φίλ' A.C.R.S.V.Γ.Δ.Θ. οὑτοσὶ, φίλ' B.X. vulg. οὗτος, ὦ φίλ' Dind. Mein. Formam οὑτοσὶ in tali carmine non ferendam esse monuit Dind.

1271. πεινῇ libri et vulg. ἀεὶ πεινῇ S.(?) Dind. ex conj. Mein. Ko. Ribb. Vels. Spatium relictum in C. Facile excidere potuit ἀεὶ ante simile πει. θαλεροῖς A.C.R.S.V. Bentl. Bekk. θαλεροῖσι B.X. Ald. δακρύοις libri et vulg. Bergk. δακρύοισιν Dind. Mein. &c.

1273. Πυθῶνι ἐν δίᾳ R.Γ. Med. 8. Bekker. Πυθῶνι ἐν διὰ S.Δ.Θ. Πυθῶνι ἐν, διὰ A.C.P. Πυθῶνι ἐν. διὰ Med. 9. Πυθῶνι ἐν, διὰ τὸ V.X. vulg.

λοιδορῆσαι τοὺς πονηροὺς οὐδέν ἐστ' ἐπίφθονον,
ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακὰ,
αὐτὸς ἦν ἔνδηλος, οὐκ ἂν ἀνδρὸς ἐμνήσθην φίλου.
νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται,
ὅστις ἢ τὸ λευκὸν οἶδεν ἢ τὸν ὄρθιον νόμον.
ἔστιν οὖν ἀδελφὸς αὐτῷ τοὺς τρόπους οὐ ξυγγενὴς,
Ἀριφράδης πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται·
ἔστι δ' οὐ μόνον πονηρὸς, οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην,
οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξηύρηκέ τι.
τὴν γὰρ αὑτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαίνεται,
ἐν κασωρείοισι λείχων τὴν ἀπόπτυστον δρόσον,

Πυθῶνι ἐνὶ, διὰ τὸ B. ("cum hiatu vix excusando," Dind.) Πυθῶνι δίᾳ μὴ Dind. Bergk. Ko. Mein. Ribb. Vels. "Πυθῶνι δίᾳ sumpsit a Pindaro Pyth. 7, 10. Ἄπολλον, οἱ τεόν γε δόμον | Πυθῶνι δίᾳ | θαητὸν ἔτευξαν. Itaque vix dubitari potest quin ἐν ab interprete illatum sit: quo ejecto alia est restituenda vocula, μὴ, etiam propter sensum necessaria, σᾶς ἁπτόμενος φαρέτρας Πυθῶνι δίᾳ μὴ κακῶς πένεσθαι." DIND. Πυθῶδ' ἰὼν διὰ τὸ Bentl. (coll. Av. 188. ἰέναι . . . Πυθῶδε). Πυθῶνι μὴ διανεκῶς πένεσθαι olim Dind. Πυθῶνι ἐν δίᾳ κακῶς πένεσθαι (*tuam tangens pharetram Delphis sacris*, et dicens, querens, *se mala premi inopia*, ut praegnans sit locutio) Fritzch. ad Thesm. 951.

1274. παράβασις praescriptum in R. λοιδορῆσαι] λοιδορεῖσθαι schol. et Suid. Cf. ad Nub. 975. Lys. 1128. ὑμᾶς λοιδορῆσαι βούλομαι.

1275. ὅστις libri. εἴ τις Dawes. p. 280. (coll. Soph. Aj. 816. εἴ τῳ καὶ λογίζεσθαι σχολή). Fortasse recte. Sed cf. Thuc. 6, 14. καὶ τὸ καλῶς ἄρξαι τοῦτ' εἶναι, ὃς ἂν τὴν πατρίδα ὠφελήσῃ, &c. 6, 16. οὐκ ἄχρηστος ἥδ' ἡ ἄνοια, ὃς ἂν τοῖς ἰδίοις τέλεσι . . . τὴν πόλιν ὠφελῇ. Adde Eurip. Suppl. 850. "Saepe sic Graece plurali nominis numero, ut hic τοῖς χρηστοῖς, pronomen respondet singulare ὅστις. Loca congesta ad Eur. Med. 219. δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν, | ὅστις . . . ." LENTING.

1276. ἄνθρωπος vulg. Dind. Mein. &c. ἅνθρωπος Bernhard. Vels. Fortasse recte. Sed cf. Ran. 705. εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος, &c.

1277. αὐτὸς R. Med. 8. Γ γρ. a sec. Suid. in εἰ μὲν οὖν et λοιδορεῖσθαι. Dind. οὗτος A.B.C.P.S.V.Γ.Δ.Θ.X. Med. 5. 8 γρ. 9. Cf. ad 75. et Th. 305-310. ἦν A.B.S.V.X. ὢν R. et Suid. in εἰ μὲν οὖν.

1279. οἶδεν B.C.R.V.Γ. &c. εἶδεν A. Cf. ad Ach. 613. ὄρθρον X.

1280. συγγενὴς A.B.C.R.S.V. Ald. Mein. ξυγγενὴς V. s. Bekk. Br. Dind.

1281. τοῦτο μὲν κἄλλων μέτα Herw. Ex. Crit. p. ix, coll. Herod. VI. 68. 3. Non male. Qu. τοῦτο μὲν κἄλλοι βροτοί. vel τοῦτο μὲν δὴ χἄτεροι, vel τοῦτο πολλοὶ χἄτεροι, vel τοῦτο μὲν καὶ μυρίοι. Latet mendum. Vulgata inepta est.

1282. ἔστι A.B.C.P.R.S.V.Γ.Δ. (ἔστὶ) Θ. Med. 8. Mein. ἐστὶ vulg. Dind. &c. οὐ γὰρ . . . παμπόνηρος om. A.B.C.P.S.V.Γ.Δ.Θ. Med. 8. Sed adduntur in marg. a pr. m. in V. ᾐσθόμην] ἠχθόμην conj. Bentl.

1283. προσεξεύρηκε vulg. προσεξηύρηκε Dind. Mein.

1284. αὑτοῦ B.Θ corr. αὐτοῦ A.C.P.V sec. Γ.Θ pr. Med. 8. αυτοῦ V pr.

1285. λίχων R. κασαυρίοισι B.C.P.R.S.V.Γ.Δ. Med. 5. 9. Suid.

καὶ μολύνων τὴν ὑπήνην, καὶ κυκῶν τὰς ἐσχάρας,
καὶ Πολυμνήστεια ποιῶν, καὶ ξυνὼν Οἰωνίχῳ.
ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττεται,
οὔ ποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.
ἦ πολλάκις ἐννυχίαισι *ἀντ.*
φροντίσι συγγεγένημαι
καὶ διεζήτηχ' ὁπόθεν ποτὲ φαύλως ἐσθίει Κλεώνυμος.
φασὶ γὰρ τοῦτον μὲν ἐρεπτόμενον τὰ τῶν ἐχόντων ἀνέρων

in v. vulg., et (sup. *γρ. σαλ*) Θ. *καυσαρίοισι* A. *κασαυρίοις* Med. 8. et Poll. VI. 188. (qui *ἐν κασαυρίοις* sine nomine scriptoris memorat). *κασωρίοισι* Steph. Byz. in *κασώριον*. Bentl. Ribb. *κασωρείοισι* Cobet. Mein. Dind. Vels. (Cf. ad Ran. 1301.) *κασαλβίοις* v. l. ap. schol. *Κασαύριον* habet Photius p. 134, 15, *κασαυρεῖον* et *κασωρεῖον* Hesychius. Vera scriptura videtur aut *κασαυρείοισι* aut *κασωρείοισι*. (Sic *Λαυρειωτικαὶ* in *Λαυριωτικαὶ* depravatum est Av. 1106. Plura vide ad Pac. 382.) Confer v. *κασαλβὰς meretrix*, et v. *κασωρῖτις*, Eust. ad Il. p. 745, 29. *Ἀντιφάνης δὲ, φασὶ, κασωρίτιν* (*-ῖτιν*?) *ἔφη τὴν ἐπὶ τέγους προεστῶσαν, οὕτω δὲ καὶ Ἱππῶναξ.*

1286. *κυκῶν*] Fort. *κυνῶν*. Idem conjicit Hermannus.

1289. *οὔποτ'* R. Suidas in *Πολυμνήστεια*. Junt. 1. Bentl. Pors. Br. *οὔτέ ποτ'* A.C.V. Ald. *οὔτέποτ'* X. *οὔτεπότ'* S. *οὐδέποτ'* (aut *οὐδεποτ'*) B. *κοὔποτ'* Athen. X. p. 446. *μήποτ'* Suid. in *Ἀριφράδης*, et schol. Luciani III. 164. De *οὐκέτ'* cogitat Reisig. Conj. 126, nil tamen mutandum censens. Qu. *οὐδέποτε ταὐτοῦ . . . . 'κ ποτηρίου.* Sed *οὔποτ'* in eodem metri genere legitur Av. 1106. *γλαῦκες ὑμᾶς οὔποτ' ἐπιλείψουσι* &c. *ταὐτοῦ* C. *ταυτοῦ* A.B.R.Γ.Δ.Θ. Ald. *τ' αυτοῦ* V. *ἔκ τ' αὐτοῦ* Med. 8. *ποτήριον* S.

1290. *ἢ* B.C.Γ sec. *ἧ* A.R.V.Γ.Δ.Θ. Med. 8. *ἐννυχίαισι* A.C.R.V. &c. *ἐννυχίαισιν* B.

1294. *φασὶ γὰρ αὐτὸν* libri et vulg. *φασὶ μὲν γὰρ αὐτὸν* Bentl. Dind. Mein. Ko. Ribb. Vels. Temeraria correctio, nam parum hic convenit particula *μὲν* sic locata, cui nihil est quod respondeat. Ipse tentabam *φασὶ γὰρ τοῦτον μὲν* . . . Vel *φασὶ γὰρ πάντ' αὐτὸν* . . . Vel *φασὶ γὰρ δὴ τοῦτον* . . . Vel *φασὶ γὰρ τοῦτον κατερεπτόμενον*? . . . Vel *φασὶ γὰρ τόνδ' ἀεὶ* (vel *αὐτὸν*, vel *οἷον*) . . . Vel (quod maxime placet) *φασὶ γὰρ ζῆν αὐτὸν . . . κοὐκ* (v. *οὐδ'*) *ἂν* &c.

1295. *τὰ τῶν ἐχόντων ἀνέρων* libri et vulg. *τὰ . . . οὐσίας* conj. Mein. *τὰ . . . ἀνδρικῶς* Vels. Notanda forma trisyllaba in comicis perquam insolens. Adde quod divites simpliciter *οἱ ἔχοντες* dicuntur, vix *οἱ ἔχοντες ἄνδρες*. Unde corruptelam aliquam jure suspicatur Meinekius Fr. Com. II. 579. Ipse etiam locum semper suspectum habui. Reponendum, ni fallor, *τὰ* (aut *τὰς*) *τῶν ἐχόντων οὐσίας*. Cf. Anaxil. Com. III. 353. *τῶν ἐχόντων οὐσίας σκώληκες* (parasiti). Diodor. Com. III. 544. *τοὺς . . . ἔχοντας οὐσίας*. Dem. p. 142. *οἱ τὰς οὐσίας ἔχοντες*. Lys. XXIX. 6. *οἱ μὲν τὰς οὐσίας ἔχοντες*. Plat. Pol. 291 E. *τῶν τὰς οὐσίας ἐχόντων τὸ πλῆθος*. Isocr. p. 146. *οἵ τε τὰς οὐσίας ἔχοντες*. Pl. 754. *ὅσοι δ' ἐπλούτουν οὐσίαν τ' εἶχον συχνὴν* &c. Vel *τὰ τῶν ἐχόντων χρήματα, | κοὐκ* &c. Nunc placet *τὰ . . . ἀνδρικῶς*. Cf. ad Pac. 1307. *ἀλλ' ἀνδρικῶς ἐμβάλλετον*. Sed *ἀνέρες* legitur Av. 687. *ἀνέρος* Ran. 706.

οὐκ ἂν ἐξελθεῖν ἀπὸ τῆς σιπύης, τοὺς δ' ἀντιβολεῖν ἂν ὁμοίως,
"Ἴθ', ὦ ἄνα, πρὸς γονάτων ἔξελθε καὶ σύγγνωθι τῇ τραπέζῃ."
φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις ἐς λόγον,
καὶ μίαν λέξαι τιν' αὐτῶν, ἥτις ἦν γεραιτέρα,
"Οὐδέπω πέπυσθε ταῦτ', ὦ παρθένοι, τἀν τῇ πόλει;
φασὶν αἰτεῖσθαί τιν' ἡμῶν ἑκατὸν ἐς Καλχηδόνα
ἄνδρα μοχθηρὸν πολίτην ὀξίνην θ' Ὑπέρβολον."
ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο κοὐκ ἀνασχετὸν,
καί τιν' εἰπεῖν, ἥτις ἀνδρῶν ἆσσον οὐκ εἰληλύθει,

1297. *τῆς* add. A.C.R.S.V.Γ.Δ.Θ. Bekk. Dind. om. B.X. vulg. *σιπύης* B.R.V.Γ sec. Med. 8. *σιπύας* A.C.Γ.Δ.Θ. *ἂν ὁμοίως* R. Med. 8. Bekk. Dind. Mein. Ko. Vels. *ἀνομοίως* B.C.P.S.V.X. Med. 9. vulg. *ἀνομίως* (*νο* a sec. m.) Γ. *ἀλλ' ὅμως* A.Γ *γρ.* Δ.Θ. (sup. sec. *γρ. ἀνομίως*) Med. 5. *ἐὰν ὁμοίως γρ.* C.P. (*-οις*). *ἂν ὅμως* Bentl. Bergk. (Cf. ad 1270.) *ἀνονήτως* conj. Kock. *ἐλεεινῶς* vel *ἂν ἐλεινῶς* Velsen. "*ἀνομοίως* suspectum. In principio vocis latet *ἂν* particula." REISK. Aliud quid latere suspicatur Mein. Valet *ὁμοίως aeque omnes, ἐκ μιᾶς φωνῆς*, Anglice, *all without exception.* Sic *πάντες ὁμοίως* Pac. 1323. *πᾶσιν ὁμοίως* Pl. 489. Sed reponendum forsan *ἂν ἅμ' οὕτως*, vel *ἂν ὁμῶς ὧδ'*.

1299. *εἴσελθε* Bergk. *τῇ τραπέζῃ* A.C.R.V. &c. *ταῖς τραπέζαις* B.

1300. *ξυνελθεῖν* B.C.P.R.S.V. Med. 8. *συνελθεῖν* A.Γ.Δ.Θ. *εἰς* plerique libri et vulg. *ἐς* Med. 8. Dind. *ἐς λόγον* om. S.

1301. *τίν'* P.R.V.Γ.Δ.Θ. Med. 8. et mox (1303) *τίν'* P.R.V. Med. 8.

1302. *οὐδὲ πυνθάνεσθε* vulg. *οὔδε π.* V. Corrigo *οὐδέπω πέπυσθε*. V. Av. 957. Pac. 615. Th. 596. Aesch. Cho. 526. *ἦ καὶ πέπυσθε τοὔναρ, ὥστ' ὀρθῶς φράσαι;* Vulgata inepta est. Requiritur praeteritum. *τἀν* A.B.R. &c. *τ' ἀν* C.V. *τ' ἂν* Γ.

1303. *ἐς* A.B.C.P.S.V.Γ.Δ.Θ. Med. 8. *Καρχηδόνα* (*Χαλκ.* Γ. a sec. m.) libri. Kock. Bergk. *Καλχηδόνα* Casaubon. Dind. Mein. Vels. Ribb. *Χαλκηδόνα* Bentl. Palmer. Exerc. p. 728. Br. Et sic legebat proculdubio Schol., qui *Καρχηδὼν δὲ πόλις Θρᾴκης περὶ τὸ Βυζάντιον.* De Carthagine non minus quam de Sicilia subigenda cogitasse Athenienses constat ex Thuc. 6, 15. *μάλιστα στρατηγῆσαί τε ἐπιθυμῶν* (Alcibiades), *καὶ ἐλπίζων Σικελίαν τε δι' αὐτοῦ καὶ Καρχηδόνα λήψεσθαι.* et Plutarch. Pericl. c. 20. *πολλοὺς δὲ καὶ Σικελίας . . . ἔρως εἶχεν, ὃν ὕστερον ἐξέκαυσαν οἱ περὶ τὸν Ἀλκιβιάδην ῥήτορες. ἦν δὲ καὶ Τυρρηνία καὶ Καρχηδὼν ἐνίοις ὄνειρος, οὐκ ἀπ' ἐλπίδος διὰ τὸ μέγεθος τῆς ὑποκειμένης ἡγεμονίας καὶ τὴν εὔροιαν τῶν πραγμάτων.* Cf. ad 174.

1304. *μοχθηρὸν* S.V.X. *πονηρὸν* A.B.C.P.R.Γ.Δ.Θ. Med. 8. An legendum *ἄνδρα μοχθηρὸν, πονηρὸν, ὀξίνην Ὑπέρβολον*? In vulgata displicet nonnihil *πολίτην* ita positum. *ὀξίνην* vulg. Dedi *ὀξίνην θ'*. Minus recte post *πολίτην* vulgo interpungitur. 1305. *ταῖς* B.C.S.V.X. *τὰς* A.R.Γ.Δ.

1306. *ἐληλύθει* vulg. *ἐλήλυθεν* B. *εἰληλύθει* Mein. Dind. Id quod postulat haud dubie analogia, sed dubito an usquam ea forma in libris reperiatur. In hoc verbo ejusque compositis augmentum omitti solet, ut videtur. Sic Dem. p. 655. *ἐξεληλύθεσαν.* p. 667. *ἐληλύθει.* p. 1091. *ἐπανεληλύθει.* p. 1210.

"Ἀποτρόπαι᾽, οὐ δῆτ᾽ ἐμοῦ γ᾽ ἄρξει ποτ᾽, ἀλλ᾽, ἐὰν δέῃ,
ὑπὸ τερηδόνων σαπεῖσ᾽ ἐνταῦθα καταγηράσομαι."
"Οὐδὲ Ναυφάντης γε τῆς Ναύσωνος, οὐ δῆτ᾽, ὦ θεοί,
εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
ἢν δ᾽ ἀρέσκῃ ταῦτ᾽ Ἀθηναίοις, καθῆσθαί μοι δοκεῖ
ἐς τὸ Θησεῖον πλεούσας ἢ ᾽ς τὸ τῶν σεμνῶν θεῶν.
οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει·
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας, εἰ βούλεται,
τὰς σκάφας, ἐν αἷς ἐπώλει τοὺς λύχνους, καθελκύσας."
ΑΛ. εὐφημεῖν χρὴ καὶ στόμα κλῄειν καὶ μαρτυριῶν ἀπέχεσθαι,
καὶ τὰ δικαστήρια συγκλῄειν οἷς ἡ πόλις ἥδε γέγηθεν,

ἐξεληλύθει. Aesch. c. Ctes. 191. κατεληλύθει. Similiter Dem. p. 481. ἀπολώλει (ἀπωλ. plur. et opt.). p. 114. ὠμωμόκει (ὀμ. male S.). Cf. ad Ach. 10. et Pl. 744.

1307. ποτ᾽ C. &c. πότ᾽ P.R.V. Med. 8. ποτὲ B.Γ.Δ.Θ. ἐάν με χρὴ A.C. &c. ἐὰν με χρῇ R.V. Correxerim ἐὰν δέῃ, aut ἐάν γε (Lys. 208) χρῇ. ἐᾶν με χρὴ B. χρὴ (V. in ras. a sec. m.) libri et vulg. χρῇ Bekk. Dind. Mein. &c. 1309. οὐδὲ A.C.R.V. &c. οὐδὲν B.

1310. ἐκ πεύκης] Conjicere licet ἐκ πίττης. Nam sequitur mox καὶ ξύλων. Nisi eadem hic locutio est atque ὦ Ζεῦ καὶ θεοί, &c. τε pro γε Reisk. Quod non probandum.

1311. ἢν R. (ἢν) Γ.Θ γρ. Med. 8. Br. Bekk. Dind. ἂν A.S.V.Δ.Θ. Med. 5. 9. εἰ B.C.P.Π.X. Ald. ἀρέσκῃ A. (-κῃ) R.S.V.Δ.Θ. Med. 8. Bekk. &c. ἀρέσκει C.P. ἀρέσκοι B.Π.X. Ald. Ἀθηναίοισι R.P.S.V.Γ.Θ. Med. 5. 8. 9. Ald. Ἀθηναίοις A.B. Bentl. Br. καθεῖσθαί μοι R. δοκῶ libri et Suid. in Θησεῖον. vulg. Dawes. Mein. δοκεῖ X.(?) Bentl. Reisk. Br. Dind. Mein. &c. Recte. Cf. ad Ran. 645. Av. 1578.

1312. εἰς libri et vulg. ἐπὶ Suid. ἐς Dind. &c. Fort. ἢ ᾽ς. πλεούσαις libri et Ald. πλέουσ᾽ ἂν Dawes. πλεούσας Reisk. Br. Dind. Ko. Mein. Vels. Ribb. Cobet. Recte. Vide comm. ἢ ᾽πὶ τῶν A.C.R. (ἤπι) S.V. Med. 8. (ἢ πὶ). ἢ ἐπὶ τῶν B. ἢ ᾽πὶ τῷ male Reisk. ἢ ᾽ις (ἢ εἰς debebat) τὸ τῶν Dawes. M. C. p. 252. Legendum, ni fallor, ἢ ᾽ς τὸ τῶν σεμνῶν θεῶν, ut paullo ante ἐς τὸ Θησεῖον. Et ita citat Elmsleius ad Ach. 612. Cf. Schol: εἰς τὸ τῶν Ἐρινύων ἱερόν. Thesm. 224. οὗτος σύ, ποῖ θεῖς; ΜΝ. ἐς τὸ τῶν σεμνῶν θεῶν. Thuc. I. 24. ταῦτα δὲ ἱκέται καθιζόμενοι ἐς τὸ Ἡραῖον ἐδέοντο. Plat. Phaedr. p. 337 F. ᾗ πρὸς τὸ τῆς Ἀγραίας διαβαίνομεν. Cf. tamen Th. 83. ἐν Θεσμοφόροιν. 89. Eccl. 443. Pl. 411. εἰς Ἀσκληπιοῦ.

1314. εἰ A. (supr. γε) Γ pr. Δ.Θ.

1316. κλείειν libri et vulg. Kock. &c. κλῄειν Dind. Mein. "Quae antiquior scriptura Aristophani ubique restituenda videtur. ἀποκεκλῄκαμεν (id est ἀποκεκλῄκαμεν) servarunt libri in Av. 1262." (Dind.) Phot. p. 168, 13. κλῆσαι οἱ ἀρχαῖοι λέγουσιν, οὐ κλεῖσαι, καὶ κλῆδα. οὕτω καὶ οἱ τραγικοὶ καὶ Θουκυδίδης. Κλῄω Ionas, Thucydidem, et Tragicos, κλείω Comicos usurpasse testatur grammaticus Crameri I. 226, 6. Cf. ad Ach. 1096. μαρτύρων B pr.

1317. συγκλείειν vulg. συγκλῄειν Dind. Mein. Cf. ad 1316. ἥδε γέγηθεν libri et vulg. Mein. ἥδ᾽ ἐγεγήθην (!) Elmsl. ad Ach. 35. Reponen-

ἐπὶ καιναῖσιν δ' εὐτυχίαισιν παιωνίζειν τὸ θέατρον.

ΧΟ. ὦ ταῖς ἱεραῖς φέγγος Ἀθήναις καὶ ταῖς νήσοις ἐπίκουρε, 1319

τίν' ἔχων φήμην ἀγαθὴν ἥκεις, ἐφ' ὅτῳ κνισῶμεν ἀγυιάς;

dum, opinor, ἦδ' ἐγεγήθει, i. e. *gaudebat*, ut monui olim ad Ach. 10. Nisi ante vocalem praestat ἐγεγήθειν. Cf. ad Av. 1298. Praesentis locum habet γέγηθα, imperfecti ἐγεγήθειν. Sic ἐγρήγορα ἐγρηγόρειν &c. Hesychius, ἐγεγήθει: ἔχαιρεν. Pac. 335. ἥδομαι γὰρ καὶ γέγηθα &c. Eur. Cycl. 465. γέγηθα μαινόμεσθα (μαίνομαί τε?) τοῖς εὑρήμασιν. Aesch. Prom. 156. ὡς μήτε θεὸς μήτε τις ἄλλος | τοῖσδ' ἐγεγήθει (ita recte Elmsl. ἐπεγήθει L. ἐπεγεγήθει libri multi).

1318. καιναῖσιν B.S. καιναῖσι C.P.R.V.Γ sec. Med. 8. 9. καιναῖς Γ pr. Med. 5. καίναις B. κοιναῖς A.Δ.Θ. εὐτυχίαισιν B.S. εὐτυχίαισι A.C. P.R.V.Γ.Θ. Med. 5. 9. εὐτυχίαισσι (sic) Δ. εὐτυχίαις Med. 8. παιωνίζειν A.B.R.S.V.Γ.Δ.Θ. Med. 5. 9. παιανίζειν Θ corr. Med. 8. Cf. Herod. V. 1. ὡς ἐπαιώνιζον κεχαρηκότες (ubi παρήχησις est in h. v. et nomine gentili Παίονες). Cf. Duker. ad Thuc. I. 50, ubi παιωνίζειν optimi quique libri praebent. Quae potior forma videatur esse. Schol. ad Plat. Conv. 177 A. παιᾶνας] ἢ τοὺς λεγομένους παιᾶνας ὕμνους εἰς Ἀπόλλωνα . . . ἢ παιῶνας, ὡς νῦν, ᾠδὰς ἐπὶ εὐτυχίᾳ καὶ νίκῃ, διὰ τοῦ ω, ἐξ οὗ καὶ παιωνίζειν.

1319. ὦ ταῖς ἱεραῖς φέγγος Ἀθήναις καὶ ταῖς νήσοις ἐπίκουρε R. Pors. Bekk. Dind. Mein. &c. ὦ ταῖς ἱεραῖς νήσοις ἐπίκουρε καὶ φέγγος Ἀθήναις A.C.S.V. Γ.Δ.Θ. Med. 5. 8. 9. et (ἐν Ἀθήναις) B.X. vulg. (Post ἐπίκουρε colon est in V.Γ., virgula in Med. 8.) ὦ ταῖς ἱεραῖς νήσοις ἐπίκουρε φανεὶς καὶ φέγγος Ἀθήναις Bentl. ὦ ταῖς νήσοις ἐπίκουρε φανεὶς καὶ ταῖς ἱεραῖσιν Ἀθήναις Bentl. et Valck. ad Hipp. 1122. ταῖς ἡμετέραις ἐπίκουρε φανεὶς νήσοις καὶ φέγγος Ἀθήναις Valck. ibid. Qu. ὦ ταῖς ἱεραῖς φέγγος Ἀθήναις νήσοις τε φανεὶς ἐπίκουρε. Vel ὦ ταῖς ἱεραῖσιν Ἀθήναις καὶ νήσοισι (vel Ἀθήναισιν νήσοις τε) φανεὶς ἐπίκουρε. Vel ὦ ταῖς νήσοις ἐπίκουρε φανεὶς καὶ ταῖς ἱεραῖσιν Ἀθήναις. (Sed vereor ut insularum ante ipsas Athenas mentio apte fiat. V. Pac. 760.) Vel ὦ ταῖς ἱεραῖς φέγγος Ἀθήναις καὶ ταῖς νήσοισι φανεὶς σύ. Quod ad φανείς, cf. 149. ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς. 458. ὦ . . . τῇ πόλει σωτὴρ φανεὶς ἡμῖν τε τοῖς πολίταις. 836. ὦ πᾶσιν ἀνθρώποις φανεὶς μέγιστον ὠφέλημα. Aesch. Prom. 634. ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανείς. Eubul. Athen. 300 B. ὦ μέγα μοι μέγα σοι φῶς φανθὲν ἐναργές. Eur. Andr. 891. ὦ ναυτίλοισι χείματος λιμὴν φανείς. Corruptum suspiceris φέγγος ex φανείς: vix enim omitti posse videtur φανείς.

1320. κνισῶμεν S.V. (s. Vels.) Δ.Θ. Med. 8. 9. schol. Dind. κνισωμεν (sine acc.) R. κνισσῶμεν A.B.C.P.Γ.X. vulg. κνίσσωμεν V. (s. Bekk.) κνίσωμεν lemma schol. in V. ἀγυιάς (ἀγυιας R. αν sic A.) libri et vulg. An scribendum ἀγυιᾶς? Sic certe legisse videtur schol., qui per τοὺς ἀγυιαίους θεοὺς explicat. Cf. Vesp. 875. Th. 489. "κνισσᾶν ἀγυιὰς est in vicis vel ante fores aedium diis sacrificare. Qua phrasi usus etiam est in Avibus v. 1233. et Demosth. c. Midiam: χοροὺς ἱστάναι κατὰ τὰ πάτρια καὶ κνισσᾶν ἀγυιὰς καὶ στεφανηφορεῖν. Vide etiam Polluc. I. 28. Alii tamen scribendum censent ἀγυιᾶς cum circumflexo in ultima, tanquam a nomin. ἀγυιεύς, inter quos est Harpocrat. v. Ἀγυιᾶς, quem vide." KUST.

ΑΛ. τὸν Δῆμον ἀφεψήσας ὑμῖν καλὸν ἐξ αἰσχροῦ πεποίηκα.
ΧΟ. καὶ ποῦ 'στιν νῦν, ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας;
ΑΛ. ἐν ταῖσιν ἰοστεφάνοις οἰκεῖ ταῖς ἀρχαίαισιν 'Αθήναις.
ΧΟ. πῶς ἂν ἴδοιμεν; ποίαν τιν' ἔχει σκευήν; ποῖος γεγένηται;
ΑΛ. οἷός περ 'Αριστείδῃ πρότερον καὶ Μιλτιάδῃ ξυνεσίτει.
ὄψεσθε δέ· καὶ γὰρ ἀνοιγνυμένων ψόφος ἤδη τῶν προπυλαίων.
ἀλλ' ὀλολύξατε φαινομέναισιν ταῖς ἀρχαίαισιν 'Αθήναις
καὶ θαυμασταῖς καὶ πολυύμνοις, ἵν' ὁ κλεινὸς Δῆμος ἐνοικεῖ.
ΧΟ. ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀριζήλωτοι
'Αθᾶναι,
δείξατε τὸν τῆς Ἑλλάδος ἡμῖν καὶ τῆς γῆς τῆσδε μόναρχον.

1321. ὑμῖν B.C.R.S.V. Reisk. ἡμῖν A.X. Ald.

1322. ποῦ 'στιν A.S.V. ποῦ 'στι B.C. Med. 8. ποῦστιν P. π' οὖστιν Γ. πό 'στιν R. νῦν B.C.R.S.V. Med. 8. om. A.Γ.Δ.Θ. Qu. ποῦ 'στ'.

1323. ἰοστεφάνοις A.B.S.V.X. ἰοστεφάνοισιν R.Δ.Θ.

1324. Spurium h. v. habent Bergk. Mein. Vels. delet eum Mein. Quamobrem? ἴδοιμεν S. Br. &c. ἴδωμεν A.B.C.R.V.Γ.Δ.Θ.X. Med. 8. Ald. ποίαν ἔχει libri. ποίαν τιν' ἔχει Pors. Dind. &c. τίν' ἔχει Br. ποίαν μὲν (τιν'?) Lenting. (coll. 1339.) Possis etiam ποίαν ποτ' (vel ἄρ') ἔχει, sed praestat ποίαν τιν'. "ποῖός τις conjunguntur Pl. 349. Ran. 60. 289. Eq. 1339. Vesp. 530. 1186. Pac. 674. Av. 127. Soph. Ant. 42. Eurip. Bacch. 477." PORSON. ἔχεις Med. 8. καὶ ποῖος libri et vulg. ποῖος Reisig. Conj. p. 151. Dind. &c. καὶ τίς Pors. Cf. ad 1339. 1361. et ad Pl. 335. (ubi καὶ πόθεν pro πόθεν plures libri). 450.

1325. οἷα B pr.

1326. δὲ B.C.R. Med. 8. γε A.Γ.Δ.Θ. δέ γε S.V.

1327. φαινομέναισιν S. Pors. Bekk. φαινομέναισι C.P.R.V. Med. 8. φαινομένῃσι (-ῃσι A. Med. 5.) A.Γ.Δ.Θ.X. Med. 5. φαινομέναις B. (supr. ιν) Ald. φαινομένῃσιν Br. ταῖς φαινομέναις ταῖσδ' Bentl. Qu. φαινομέναις ἐπί. Ceterum notandi tres dactyli in initio versus: qui numeri gaudio magis exprimendo, opinor, inserviunt. ἀρχαίαισιν B.C.R.S.V sec. ἀρχαίαισι V pr. Med. 8. ἀρχαίαις A.Γ.Θ. Med. 5. ἀρχαίαις σοι Med. 9.

1328. καὶ θαυμασταῖς] Malim ταῖς θαυμασταῖς. οἰκεῖ S.V. Med. 9.

1329. ὦ ταὶ λιπαραί] ὦ ταὶ (sup. αἱ sec. m.) Γ. Corrigendum, ni fallor, ὦ καὶ λιπαραί. Cf. Phrynich. II. 593. ὦ καὶ κάπραινα καὶ περίπολις καὶ δρομάς. Cephisodor. II. 885. ὦ καὶ λέων καὶ μυγαλῆ καὶ σκορπίος. Adde quod, si sincerum esset ω ταί, scribendum foret etiam Dorice 'Αθᾶναι, ut in Pindari ipsius verbis. Nonnunquam tamen post ὦ additur articulus, ut in Lys. 137. ὦ παγκατάπυγον θἠμέτερον ἅπαν γένος. Aesch. Pers. 832. σὺ δ', ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη. Soph. El. 504. ὦ Πέλοπος ἁ πρόσθεν πολύπονος ἱππεία. Aj. 861. ὦ κλειναὶ 'Αθῆναι καὶ τὸ σύντροφον γένος. Phil. 867. ὦ φέγγος ὕπνου διάδοχον, τό τ'... οἰκούρημα &c. Phil. 987. ὦ Λημνία χθὼν καὶ τὸ παγκρατὲς σέλας. 'Αθῆναι vulg. Annon 'Αθᾶναι, ut apud Pindarum?

1330. δείξατε V. δείξαντες S. τὸν τῆς A.S. τῆς B.C.R. &c.

ΑΛ. ὅδ' ἐκεῖνος ὁρᾶν τεττιγοφόρας, ἀρχαίῳ σχήματι λαμπρὸς, οὐ χοιρινῶν ὄζων ἀλλὰ σπονδῶν, σμύρνῃ κατάλειπτος.

ΧΟ. χαῖρ', ὦ βασιλεῦ τῶν Ἑλλήνων, καί σοι ξυγχαίρομεν ἡμεῖς· τῆς γὰρ πόλεως ἄξια πράττεις καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.

1331. τεττιγοφόρος libri et vulg. τεττιγοφόρας Pors. Dind. Mein. τεττιγοφόρος κἀρχαίῳ vel τεττιγοφορῶν ἀρχαίῳ Bentl. "Correxit Porsonus ex Hesychio, qui ita scribit, τεττιγοφόρας: Ἀττικοὶ ἐπὶ τῶν τῆς κεφαλῆς τριχῶν εἰρομένων (supplendum ἐφόρουν) χρυσοῦς τέττιγας. Quae Musurus inepte interpolavit ex Suida in τεττιγοφόροι." DIND. Sic σαμφόρας supra 603. τειχομάχας Ach. 570. γοργολόφας Ach. 567. Eq. 1181. βακτροφόρας et πτεροφόρας ap. Lob. ad Aj. 604. λευκολόφας Eur. Phoen. 120. στηλοκόπας Herodicus Athen. 234 D. V. Valck. ad Phoen. 120. Elmsl. ad Ach. 178.

ἀρχαίῳ] τῷ 'ρχαίῳ Br. λαμπρός] λαμ̃ R. Unde λάμπων conjici posse monet Dind.

1332. χοιρινων R. (sine acc.) S. χοιρίνων A.B.C.P.V.Γ.Δ. Ald. Virgulam post σπονδῶν delet Walsh. κατάληπτος A.(?)Δ.Θ. Med. 8.

1333. καί σοι B.R.S.V. &c. καὶ σοὶ (sic) A.C. ξυγχαίρομεν A.B.R.S. συγχαίρομεν V.Δ.Θ.

1334. τοῦ 'ν Μαραθῶνι C.P.V. (s. Bekk.) X. vulg. τοὺν Μαρ. A.B.S.V. (s. Vels.) Γ.Δ.Θ. Med. 5. 8. τουν Μαρ. lemma schol. in V. τοῦμμαραθῶνι (sine acc. s. Vels.) R. [I. e. τοῦ 'ν Μαρ. Cf. Soph. Ant. 1266. νέῳ ξὺν μόρῳ (ξυμμόρῳ al.). Dem. p. 995. ἵνα τἀμμέσῳ (τὰν μέσῳ r.) συντέμω.] τοῦ Μαραθῶνι Med. 9. Bentl. Bekk. Dind. Ko. Bergk. Mein. Ribb. Vels. Cf. ad Vesp. 711. ἄξια τῆς γῆς ἀπολαύοντες καὶ τοῦ 'ν (τοῦ Bentl. Dind. &c.) Μαραθῶνι τροπαίου. Pl. 1126. Utrobique praepositionem delendam censet Cobet. V. L. p. 201, coll. Eq. 778. σὺ γὰρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι. Nil temere mutari oportere contra librorum auctoritatem ostendent exempla infra allata, ex quibus apparet modo addi, modo omitti, praepositionem ἐν; saepe autem interpolatam illam esse ab imperitis librariis. Fr. 363. καὶ κολλύραν τοῖσι περῶσιν (γέρουσιν ?) διὰ τοὺν Μαραθῶνι τροπαῖον. Thesm. 806. πρὸς ἐκείνην τὴν Μαραθῶνι. Eupol. ap. Longin. c. 26. οὐ γὰρ μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην | χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ. Plat. Menexen. 245 A. αἰσχυνομένη τὰ τρόπαια τά τε Μαραθῶνι καὶ Σαλαμῖνι καὶ Πλαταιαῖς. ibid. 241. τὸ ἐν Πλαταιαῖς ἔργον. Gorg. 516. Μιλτιάδην δὲ τὸν ἐν Μαραθῶνι εἰς τὸ βάραθρον ἐμβαλεῖν ἐψηφίσαντο. Dem. p. 686. Θεμιστοκλέα τὸν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν νικήσαντα καὶ Μιλτιάδην τὸν ἡγούμενον Μαραθῶνι (al. ἐν Μαρ.). ibid. τὴν ἐν Σαλαμῖνι ναυμαχίαν . . . τὴν ἐν Μαραθῶνι μάχην. Thuc. I. 18. ἡ ἐν Μαραθῶνι μάχη. Aeschin. 181. ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας. Aesch. c. Ctes. 186. ἡ ἐν Μαραθῶνι μάχη. Id. II. 77. τῆς ἐν Σαλαμῖνι . . . ναυμαχίας. 78. τὴν ἐν Πλαταιαῖς . . . πεζομαχίαν. ibid. τὴν ἐν Μαραθῶνι μάχην. Dem. p. 1378. τὴν Πλαταιᾶσι μάχην. ibid. τὴν ἐν Σαλαμῖνι ναυμαχίαν. Dinarch. I. 76. τὴν ἐν Κερκύρᾳ ναυμαχίαν. III. 17. τὴν ἐν Κερκύρᾳ ναυμαχίαν. Isae. V. 66. ὅτε ἡ ἐν Ἐλευσῖνι μάχη ἐγένετο. Lycurg. § 74. τὸ ἐν Σαλαμῖνι τρόπαιον. Isocrat. 59 B. ζηλοῦν τὴν πόλιν τῆς ἐν Σαλαμῖνι μάχης (ἐν om. G. del. Bekk.). 112 A. τῆς ἐν Μαραθῶνι μάχης (ἐν om. G. del. Bekk.) καὶ τῆς Σαλαμῖνι ναυμαχίας (ἐν add. G. et Bekk. !). Paus. I. 21. 1.

ΔΗ. ὦ φίλτατ' ἀνδρῶν, ἐλθὲ δεῦρ', Ἀγοράκριτε.
ὅσα με δέδρακας ἀγάθ' ἀφεψήσας. ΑΛ. ἐγώ;
ἀλλ', ὦ μέλ', οὐκ οἶσθ' οἷος ἦσθ' αὐτὸς πάρος,
οὐδ' οἷ' ἔδρας· ἐμὲ γὰρ νομίζοις ἂν θεόν.
ΔΗ. τί δ' ἔδρων, κάτειπέ μοι, πρὸ τοῦ; ποῖός τις ἦ;
ΑΛ. πρῶτον μέν, ὁπότ' εἴποι τις ἐν τἠκκλησίᾳ,

τῆς γραφῆς ἢ τὸ ἔργον ἔχει τὸ Μαραθῶνι. Lucian. Dem. Enc. 36. τῶν Μαραθῶνι καὶ Σαλαμῖνι κατειργασμένων. Eq. 781. ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι. Lys. 1299. τὸν Ἀμύκλαις σιόν. Eurip. Hipp. 545. τὰν μὲν Οἰχαλίᾳ πῶλον. Pind. Ol. IX. 95. ἐν Μαραθῶνι . . . μένεν ἀγῶνα. Isocr. Or. XV. § 328. ὁ τοὺς βαρβάρους Μαραθῶνι τῇ μάχῃ νικήσας. Critias Athen. 28 B. ἣ τὸ καλὸν Μαραθῶνι καταστήσασα τρόπαιον. Eur. Ion. 988. οἶδ', ἣν (μάχην) Φλέγρᾳ Γίγαντες ἔστησαν θεοῖς. Elmsl. ad Ach. 343. Cf. ad 781. et Ach. 696.

1336. με B.C.R.S.V. &c. μὲν A. ἀφεψήσας. ΑΛ. ἐγώ;] ἀφεψήσας ἔσω (!) cum Hermanno Kock. ἀφεψήσας νέον. | ΑΛ. ἀλλ' conj. Bergk. ἀγάθ.' ΑΛ. ἀφεψήσας γ' (aut σ') ἐγὼ conj. Mein. Qu. ἀφεψήσας. ΑΛ. ἔγωγ'· | ἀλλ' . . .

1337. ἀλλ' extra lineam in B. μέλ' R.S. μέλε A.P.R. Med. 8. μέλε' B.C.V.Γ.Δ.Θ. αὐτὸς πάρος] Fort. ἀνὴρ πάρος. Vel ἐν τῷ πάρος.

1338. οἷ' A.B.R.S.V.Γ.Δ.Θ. Med. 8. Bentl. Dind. οἷον X. vulg. νομίζεις ἂν S.V.Δ.Θ. ἂν νομίζοις A.

1339. τί δ' ἔδρων, κάτειπέ μοι, προτοῦ (aut πρὸ τοῦ) A.B.C.P.S.V.Γ.Δ.Θ.X. Med. 5. 8. 9. vulg. Lenting. τί δ' ἔδρων προτοῦ, κάτειπε, καὶ R. Dind. Bekk. Ko. Mein. Ribb. Vels. Vulgatam revocavi. Si quid mutandum, magis placeret τί δ' ἔδρων προτοῦ, κάτειπέ μοι. Verba κάτειπέ μοι saepe in fine sententiae ponuntur. προτοῦ A.B.C.R. Med. 5. 8. 9. πρὸ τοῦ P.S.V.Γ.Δ.Θ. ποῖός τις (τίς P.V.Γ.) B.P.V.Γ.X. vulg. Lenting. καὶ ποῖός τις A.C.R.S. Med. 5. 8. 9. Dind. Bekk. &c. Vulgata revocanda. Quid enim inelegantius particula καὶ sic posita? Cf. modo 1324. πῶς ἂν ἴδοιμεν; ποίαν τιν' ἔχει σκευήν; ποῖος γεγένηται; Saepe inserta est ab librariis copula. Cf. ad 1324. Adde quod emphatica praecipue sunt verba τί δ' ἔδρων, post quae statim apte sequitur hortatio κάτειπέ μοι. Praeterea constat nihil transpositione verborum vel contra metrum frequentius esse in libro R. Sic πάντων ἄρξῃ pro ἄρξῃ πάντων exhibet in v. 797. κάττυμα τουτφὶ pro τ. κ. in v. 869. οὐδεὶς αὐτὸν pro αὐ. οὐ. in v. 231. ἐν τ' ἀγορᾶι οὐδεὶς pro οὐδεὶς ἐν ἀγορᾷ in v. 1373. ὦ γυναῖκες, ἡμῖν pro ἡμῖν, ὦ γυναῖκες Eccl. 504. ὀλίγας οὐκ εἶχε pro εἶχεν οὐκ ὀλίγας Pl. 715. τῷ θεῷ δῶρα pro δῶρα τῷ θεῷ 849. σε ζῆν pro ζῆν | σ' 1033. μόνον γομφίον pro γομφίον μόνον 1059. ἐκεῖθεν ἴν' pro ἴν' ἐκεῖθεν 70. τὸ βάραθρόν σοι pro σοι τὸ βάραθρον 431. Ceterum κάτειπέ μοι legitur Nub. 155. 170. 224. 478. Pac. 657. 826. κάτειπέ νυν Nub. 1279. ἴθι δὴ κάτειπ' Pac. 405.

ἦ R. (aut ἦι, ηἶ s. Vels.) S. Bekk. Dind. Ko. Mein. Lenting. εἶ B. ἦν A.C.V.Γ.Δ.Θ. Med. 8. 9. vulg. Bergk.

1340. τῇ 'κκλησίᾳ A.B.C.P.Γ.Δ.Θ. τῆι κλησίαι R. hic et alibi. τη 'κκλησία V. τἠκκλησίᾳ Δ corr.

“Ὦ Δῆμ, ἐραστής εἰμι σὸς φιλῶ τέ σε
καὶ κήδομαί σου καὶ προβουλεύω μόνος,”
τούτοις ὁπότε χρήσαιτο τοῖς προοιμίοις,
ἀνωρτάλιζες κἀκερουτίας. ΔΗ. ἐγώ;
ΑΛ. εἶτ' ἐξαπατήσας σ' ἀντὶ τούτων ᾤχετο.
ΔΗ. τί φής; ταδί μ' ἔδρων, ἐγὼ δ' οὐκ ᾐσθόμην;
ΑΛ. τὰ δ' ὦτά γ' ἄν σου νὴ Δί' ἐξεπετάννυτο
ὥσπερ σκιάδειον καὶ πάλιν ξυνήγετο.
ΔΗ. οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;
ΑΛ. καὶ νὴ Δί' εἴ γε δύο λεγοίτην ῥήτορε,

1341. *ἐραστής* A.B.R.X. Med. 5. 8. Dind. Mein. &c. *ἐραστής τ'* C.P.S.V. vulg. Bergk.

1343. *χρήσαιτό τις προοιμίοις* vulg. Lego *χρήσαιτο τοῖς προοιμίοις*. Jam praecessit *τις* 1340. Adde quod post *τούτοις* postulatur articulus. V. e. g. 787. Idem proposuit Lenting.

1344. *καὶ κερουτίας* S.

1346. *τί φῄς* (aut *φής, φῇς, φῆς*)*; ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ᾔδειν* (aut *ἤδειν*) A.C.R.S.V.Γ.Δ.Θ. Med. 5. 8. 9. *τί φῄς* (*φής*)*; τοιαῦτά μ' ἔδρων, ἐγὼ δ' οὐκ ᾐσθόμην* B.X. vulg. *τί φῄς; τοιαῦτ' ἔδρων μ'* . . . Reisk. Dobr. *τί φῄς;* | *ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ᾐσθόμην* Dind. Ko. Bergk. Mein. Ribb. Vels. Elmsl. ad Ach. 178. (*τί φῄς;* extra v. posito, ut in Nub. 235.) (Quae correctio vix placet; nam *τοῦτο* sic positum post *ταῦτα* parum elegans est.) *ταυτί μ' ἔδρων, ἐγὼ δέ γ' οὐκ ᾔδη; τί φῄς;* conj. Mein. Spurium h. v. habet Vels. (“Paraphrasis versus 1349 sententiarum ordinem foede disturbans.”) Facile quidem *ἐγὼ δέ γ' αὔτ' οὐκ ᾐσθόμην*, vel *ἐγὼ δέ γ' οὐκ ἐπῃσθόμην* corrigas, sed malim *τί φής; ταδί μ' ἔδρων, ἐγὼ δ' οὐκ ᾐσθόμην;* Quanquam non temere repudianda vulgata. Mira hic est discrepantia scripturae *ᾐσθόμην* et, quod habent optimi libri omnes, *ᾔδειν*. Latet fortasse aliquid. *φῄς* (aut *φῇς*) R. &c. *φής* P.Θ. Med. 5. 8. *φῆς* Γ. *τί φής* extra versum positum in Med. 8. non in A.B.C.R.S.V. Med. 5. 9.

1347. *τὰ δ' ὦτά σου νὴ τὸν Δί'* Cobet. *τὰ γὰρ' ὦτά σου νὴ τὸν Δί'* Mein. Vels. Quod non probandum. *γ' ἄν* R. Dind. &c. *γάρ* A.B.C.S.V.Γ.Δ.Θ.X. vulg. Bekk. Bergk. Recte Dind. *ἐξεπετάνυτο* S.

1348. *σκιάδειον* Med. 5. 8. 9. Br. *σκιάδιον* B.C.P.R.S.V.Γ *γρ.* X. Ald. *σκιαδεῖον* A.Γ. *σκιάδεῖον* Δ.Θ.

1349. Qu. *οὕτως ἀνόητος καὶ γέρων ἐγιγνόμην;* Soph. Ant. 281. *μὴ 'φευρεθῇς ἄνους τε καὶ γέρων ἅμα.* Oed. C. 930. *καί σ' ὁ πληθύων χρόνος* | *γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.*

1350. *καὶ νὴ δία γ' εἰ δύο* A.C.R. (*δί' ἄγει*) Γ. (*εἰ*) Δ.Θ. (*διά* Δ.Θ.) X. Med. 5. 8. et (*δύω*) Ald. *καὶ νὴ δία εἰ δύω* B. *καὶ νὴ δί' εἰ δύω* S.V. Med. 9. *καὶ νὴ Δί' εἰ δύο γε* Reisig. C. 255. *καὶ νὴ Δί' ὅτε γε δύο* Elmsl. ad Ach. 338. *καὶ νὴ Δία γ' εἰ δύο σοι* Br. *καὶ νὴ Δί' εἴ γε δύο* Pors. Dind. Mein. Ribb. Vels. Recte. Cf. ad Av. 11. Pl. 1010. *ῥήτορες* V pr. Med. 8. *ῥήτορε* reliqui.

ὁ μὲν ποιεῖσθαι ναῦς μακράς, ὁ δ' ἕτερος αὖ
καταμισθοφορῆσαι τοῦθ', ὁ τὸν μισθὸν λέγων
τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο.
οὗτος, τί κύπτεις; οὐχὶ κατὰ χώραν μενεῖς;
ΔΗ. αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις.
ΑΛ. ἀλλ' οὐ σὺ τούτων αἴτιος, μὴ φροντίσῃς,
ἀλλ' οἵ σε ταῦτ' ἐξηπάτων. νυνδὶ φράσον·
ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος,
"Οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,

1351. *ποεῖσθαι* R.V. *μακρὰς* A.V pr. Γ.Δ.Θ. Med. 5. *λέγων* B.C.P. R.S.V sec. Π.X. Med. 8. et *γρ.* Γ. *γρ. μακρὰς χωρὶς τοῦ λέγειν* V. in marg. a sec. m. Ex interpretatione ortum *λέγων*.

1352. *τοῦθ'* A.B corr. Bentl. Dind. Bergk. *τοῦτο θ'* (i. e. *τοῦθ'* et *τοῦτο*) Γ.Δ.Θ. Med. 5. *τοῦτον* B.C.P.S.V.X. Med. 8. 9. vulg. (interpunctione posita post *καταμισθοφορῆσαι*). *τούτων* R. *τῶνδ'* Kock. (Praestaret *τοῖνδ'*, sed multo magis postulatur *τοῦθ'*.) *καταμισθοφορεῖν, τούτοιν ὁ τὸν μισθὸν λέγων* Elmsl. ad Ach. 178. Mein. Ribb. Vels.

1353. *παραδραμὼν* B.C.R.S.V. &c. *παραδραμόντ'* A. *ἂν* om. V. (R sec. Vels.)

1355. *αἰσχύνομαί τοι*] Fort. *αἰσχύνομαι 'γώ.* *ταῖς . . . ἁμαρτίαις*] *ταῖς . . . ἁμαρτίας* Ald. Legitur vulgo Pl. 774. *αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ συμφοράς, | οἵοις ἄρ' ἀνθρώποις ξυνὼν ἐλάνθανον.* Sed illic malim *ταῖς ἐμαυτοῦ συμφοραῖς*. Cf. Plat. Erast. 139. *αἰσχυνθεὶς τοῖς προειρημένοις*. Eur. Her. 542. *οὐδ' αἰσχύνομαι | τοῖς σοῖς λόγοισι.* Herc. F. 1160. *αἰσχύνομαι γὰρ τοῖς δεδραμένοις κακοῖς.* V. Matth. Gr. § 399 c. *πρότερον* B.C.R.S.V.X. Ald. Br. *προτέραις* A. et Suidas in *αἰσχύνομαι*.

1357. *νῦν δὲ* (*δε* V pr. m.) libri et vulg. *νῦν δ' αὖ* Elmsl. n. ms. *νῦν αὖ* Lenting. *νυνδὶ* Seidler. Dind. Ko. Bergk. Mein. Ribb. Vels. Praestat forsan *νυνὶ* aut *νῦν δή* (et sic fort. X.). Saepe in libris permutantur particulae *δὲ* et *δή*. "Eustath. p. 45, 6. *ἐπέκτασιν ποιεῖ οὐ μόνον τὸ ι ἐν τῷ οὑτοσὶ καὶ νυνὶ καὶ ἐνταυθὶ κατὰ τὸν τεχνικὸν Γεώργιον—καὶ νυνμενί, φησί, καὶ νυνγαρὶ ἀντὶ τοῦ νῦν—. ὁμοίως δὲ καὶ τὸ δ μετὰ τοῦ ι, οἷον ὁδὶ καὶ νυνδὶ ἀντὶ τοῦ νῦν* (imo *ἀντὶ τοῦ νῦν δέ*). *νυνδί* restitui Plut. 1033. Ejusmodi sunt apud Aristophanem, praeter usitatissima illa *τουτογί* et *ταυταγί*, *νυνμενὶ* Av. 448. *τηνδεδὶ* 18. Eccl. 989. *ταυτηνδὶ* Av. 1364. *τουτουμενὶ* Ran. 965. *τουτοδὶ* Plut. 227. *ἐνγεταυθὶ* Thesm. 646. *ἐνμεντευθενὶ* et *τηδεδὶ* apud Metagenem Athen. VI. 269 f. Quorum pleraque ab librariis corrupta fuerunt." DIND. Cf. Schol. ad Av. 448. *τὸ δὲ νυνμενὶ ἀντὶ τοῦ νυνὶ μέν· πολλαχοῦ δὲ τούτῳ χρῶνται.* Adde *τασδεδὶ* Lys. 1271. *τῳδεδὶ* Av. 644. *τοισδεδὶ* (*τοῖς δέ γε* libri. *τοῖσδε δὲ* Br.) Eccl. 873. *τῶνδε δὲ* (*τωνδεδὶ*?) Eccl. 989. *τουτονγὶ* (qu.) Lys. 603. *ἐνγετεῦθεν* (sic Fritzch.) Av. 11. Eupolis Fab. Inc. 62. *παρὰ τηδεδὶ σὺ τῇ σοβάδι κατηγάγου;* Eupolis ap. schol. Av. 1569. *ταδὶ δὲ* (l. *ταδεδὶ*) *τὰ δένδρα.* Antiphan. Athen. 342 E. *νυνὶ δὲ* (*νυνδὶ* Dind.) *Μάτων συνήρπακεν.* Longe audacius est Ennianum illud, *saxo cere comminuit brum*. De violenta tmesi disputavit Lob. ad Phryn. p. 414. Cf. Elmsl. ad Ach. 108.

1359. *ὑμῖν* B.R.S.V. *ἡμῖν* A.C.

εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην,"
τοῦτον τί δράσεις, εἰπὲ, τὸν ξυνήγορον;
ΔΗ. ἄρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ,
ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας Ὑπέρβολον.
ΑΛ. τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις·
τὰ δ' ἄλλα, φέρ' ἴδω, πῶς πολιτεύσει; φράσον.
ΔΗ. πρῶτον μὲν ὁπόσοι ναῦς ἐλαύνουσιν μακρὰς,
καταγομένοις τὸν μισθὸν ἀποδώσω 'ντελῆ.
ΑΛ. πολλοῖς γ' ὑπολίσφοις πυγιδίοισιν ἐχαρίσω.
ΔΗ. ἔπειθ' ὁπλίτης ἐντεθεὶς ἐν καταλόγῳ

1360. *καταγνώσεσθε* R. (*κατὰ γνώσ.*) S.V. *καταγνώσησθε* A.B.C.P.Γ.Δ.Θ.

1362. *ᾄρας* R.V. (*αἴρας*) Γ. *ἐς* A.B.C.P.R.V.Γ.Θ. Med. 8. *εἰς* Ald. et Suidas in *Ὑπέρβολον*.

1363. *ἐκκρεμάσας* A.B.R.X. *κρεμάσας* S.V.

1365. *πῶς πολιτεύσει φράσον* vulg. Malim *πῶς πολιτεύσει; φράσον*. Cf. 953. 1002. 1214. et ad Eq. 119. Nub. 21. Pac. 602.

1366. *ἐλαύνουσιν* A.R.S.X. *ἐλαύνουσι* B pr. C.P.V.Γ. Med. 8. *ἐλαύνωσι* Δ.Θ.

1367. *ἀποδώσω 'ντελῆ* A corr. C.P.V.Γ.Θ. *ἀποδώσω ἀτελῆ* (supr. *'ν*) B. *ἀποδώσων τελῆ* R.Δ.

1368. *δ'* pro *γ'* unus R. Cf. ad 1388. *ὑπολίσποις* (*ὑπολίποις* R. Med. 8.) libri et Ald. Kock. Bergk. Ribb. *ὑπολίσφοις* Br. Seidler. Dind. Mein. Vels. "Idiotismum Atticae dialecti librariorum culpa obliteratum fuisse arbitror. Scripserat Comicus *ὑπολίσφοις*. Moeris: *λίσφους, Ἀττικῶς· ἀπύγους, Ἑλληνικῶς*. Ad quam notam vide Piersonum p. 245. Hesychio *λίσπη* exponitur *λεία καὶ ἐκτετριμμένη, καὶ ἄπυγος λίαν*. Prior interpretatio pertinet ad Ran. 826, ubi *λίσπη γλῶσσα*, neglecto Atticismo, bene in chorico cantico adhibetur. Sed in senariis alia res est, in quibus non solet comicus ab usu suae dialecti recedere." BR. "Scribendum *ὑπολίσφοις* cum Brunckio. V. Ruhnk. ad Tim. p. 175, 176. Eadem forma *λίσφη* Ranarum quoque versui restituenda videtur. Similes Atticismi sunt *φιδάκνη*, de quo v. ad v. 792. et *σφόγγος* et *σφογγίον*, de quo dictum ad Ach. 463." DIND. *ὑπολίσποις* tuetur Fritzchius ad Thesm. p. 611. Cf. ad Ach. 463. Pierson. ad Moerin p. 245, ubi plura de hac forma afferuntur. *πυγιδίοισιν ἐχαρίσω* vulg. Fort. *πυγιδίοισι κεχάρισαι*. Ita Eccl. 1045. *νὴ τὸν Δία τὸν σωτῆρα κεχάρισαί γέ μοι*. Sed cf. Ach. 437. *Εὐριπίδη, 'πειδήπερ ἐχαρίσω ταδί*. Av. 1401. Eq. 421. *πυγιδίοις* S.V.

1369. *ὁπλίτης* diserte S.V. Fr. Thiersch. in Actis Acad. Bav. p. 700. (a. 1835.) Dind. &c. *ὁ πολίτης* reliqui libri et vulg. et Suidas in *κατάλογος*. Simili errore Lys. Or. XIII. 88. *τοὺς ὁπλίτας* (pro *πολίτας*) libri, et contra XIV. 7. *πολιτῶν* pro *ὁπλιτῶν*. Cf. Pac. 1180-1. Lys. XV. 5. *ἐξαλείφειν* ... *ἐκ τοῦ τῶν ὁπλιτῶν καταλόγου*. *ἐντεθεὶς* B.C.R.S.Γ *γρ.* Θ sec. *ἐντιθεὶς* A.V.Γ.Δ.Θ. Qu. *ἐγγραφείς*. Cf. 1370. 1371. Pac. 1180. *τοὺς μὲν ἐγγράφοντες ἡμῶν* (sc. *ἐν τῷ καταλόγῳ*). Sed *ἐγγράφειν εἰς κατάλογον* potius quam *ἐν καταλόγῳ* dicebant, ut videtur. Ita certe Cratin. min. Com. III. 377. *εἰς*

οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται,
ἀλλ' οὗπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.
ΑΛ. τοῦτ' ἔδακε τὸν πόρπακα τὸν Κλεωνύμου.
ΔΗ. οὐδ' ἀγοράσει 'τ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.
ΑΛ. ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;
ΔΗ. τὰ μειράκια ταυτὶ λέγω τἀν τῷ μύρῳ,
ἃ τοιαδὶ στωμύλλεται καθήμενα,
"Σοφός γ' ὁ Φαίαξ, δεξιῶς τ' οὐκ ἀπέθανε·

τὸ κυλικεῖον ἐνεγράφην. Isocr. 374 D. *εἰς τὸν μετὰ Λυσάνδρου κατάλογον ἐγγράψας.* *ἐν καταλόγῳ*] Qu. *τῷ καταλόγῳ.*

1370. *μετεγγραφήσεται* A.B.P.R.S.V. Suid. Dawes. Br. *μεταγραφήσεται* X. Ald.

1371. *ὥσπερ* A.B. Med. 5. 9. vulg. *ὅσπερ* A. (s. Vels.) R.S.V. Med. 8. Legendum, opinor, *οὗπερ ubi.* Cf. ad 274. 526. 1052. *ἐγγεγράψεται* B.C.S.V.X. Med. 8. *ἐγγράψεται* A.R.Δ.Θ. Med. 5.

1372. *τὸν* A.B.R.X. &c. *τοῦ* S.V. Cf. ad Pl. 303.

1373. *οὐδ' ἀγοράσει τ'* R. *οὐδ' ἀγοράσει γ'* A.B.C.S.V.Γ.X. Med. 8. vulg. Herm. Bo. Bergk. Mein. *οὐδ' ἀγοράσει δ'* Δ.Θ. Med. 5. *οὐδ' ἀγοράσει σ'* Med. 9. *οὐδ' ἀγοράσἀγένειος* Dind. Ribb. (Crasi simili illi *κλαύσᾶρα* Pac. 532. *οἰμώξᾶρα* Pl. 876. *περιόψομἀπελθόντ'* Ran. 509. Cf. ad Pl. 593. 641. 985. 1121.) *ἐν τἀγορᾷ τ' ἀγένειος οὐδεὶς ἀγοράσει* audacter Kock. *οὐδ' ἀγοράσει 'τ' (ἔτι) ἀγένειος* optime corrigit Lenting p. 10. Quod ipse etiam conjeceram. Magis hic convenit *ἔτι* quam *γε*, quum suum ipsius sermonem continuet Populus. Cf. 667. *ὁ δ' ἠντεβόλει 'τ'* (sic Lenting. *γ'* vulg.) *αὐτοὺς ὀλίγον μεῖναι χρόνον.* Qu. *οὐδ' ἀγοράσει γ' ἀγένειος ἔτι νεανίας.* Vel *οὐδ' ἀγοράσει γ' ἀγένειος οὐδεεὶς ἔτι.* *οὐδεὶς ἐν ἀγορᾷ* B. vulg. Dind. Mein. *οὐδεὶς ἐν τ' ἀγορᾷ* A.C.S.V.Γ. Med. 8. (*ἔν*). *οὐδεὶς ἐν τἀγορᾷ* P.Δ.Θ.X. Med. 5. 9. *ἔν τ' ἀγορᾷ οὐδεὶς* R. *ἐν τ' ἀγορᾷ οὐδεὶς* A. (s. Vels.) *οὐδ' ἐν τἀγορᾷ* cum Hermanno Bergk. *οὐδεὶς ἐν πόλει* aut aliquid simile substituerit Velsen.

1374-81. Omnes hos versus isiciario dat Madvig, qui, "Populi si esset v. 1375, interrogaret: *τὰ μειράκια ταυτὶ λέγεις . . .;*" Cf. 1382-3.

1375. Isiciario continuant P.R.S.V.Γ.Θ. Med. 8. Ald. Both. *λέγω* B.C.R.S.V.Γ.Δ.Θ. Med. 8. *λέγων* A. *τἀν* A.B.C.R.S. *τᾶν* V. *τὰ 'ν* P.

1376. *ἃ στωμυλεῖται τοιαδὶ* A.R.S.V. Med. 8. &c. *ἃ στωμυλιεῖται τοιαδὶ* B.C.P. Futurum est *στωμυλεῖται* verbi *στωμύλλεσθαι*, quod huic loco parum convenit, in quo praesens potius requiritur. Vide igitur an corrigendum sit, *ἃ τοιαδὶ στωμύλλεται.* (Ita nuper edidit Velsen.) Vel *ἃ τοιάδ' ἀεὶ* (vel *ἅττα*) *στωμυλεῖ καθήμενα.* Vel *ἃ στωμυλεῖ τοιαῦτ' ἀεὶ . . .* Semper forma *στωμύλλειν στωμύλλεσθαι* utitur Aristophanes. Neque futurum hic convenit.

1377. *σοφός γ' ὁ Φαίαξ δεξιῶς τ' οὐκ ἀπέθανε* R. (*ἀπέθανεν*) S.V.Γ.Π.X. Med. 8. 9. Suid. in *Φαίαξ* (ubi *δεξιός τ'*). Ald. Bo. Bergk. (qui *ἀπέθανεν*). *σοφός γ' ὁ Φαίαξ δεξιῶς ἐμάνθανε* A.Δ.Θ. (*γρ. τ' οὐκ ἀπέθανε*) Med. 5. *δεξιὸς ὁ Φαίαξ καὶ σοφῶς οὐκ ἀπέθανεν* B. *δεξιός γ' ὁ Φαίαξ* (*Φαῖαξ* pr.) *σοφῶς τ' οὐκ ἀπέθανε* C.P. (*Φαῖαξ*). *δεξιὸς ὁ Φαίαξ καὶ σοφῶς ἐμάνθανε* Br. *σοφός γ' ὁ Φαίαξ δεξιῶς τε κατέμαθε* Dind. Vels. et (*κατέμαθεν*) Ko. Mein. Ribb. "Vulgo sic legitur hic

ξυνερτικὸς γάρ ἐστι καὶ περαντικὸς

versus: σοφός γ' ὁ Φαίαξ, δεξιῶς τ' οὐκ ἀπέθανε. Quae lectio vitii suspecta est, ne manifestam dicam. Ei praeter Suidam nullus antiquus suffragatur liber. Importune et insulse in hoc adolescentium sermone, quem Demus refert, injicitur mentio capitalis judicii, quod effugerit Phaeax: commentum hoc esse videtur Graeculorum, qui, ne nihil ad mendosam lectionem adferrent, historiolam illam excogitaverunt. Nihil tale in A., cujus longe diversa est lectio: σοφός γ' ὁ Φαίαξ δεξιῶς ἐμάνθανε. Unde meliorem, et, ni fallor, veram reconcinnavi: δεξιὸς ὁ Φαίαξ, καὶ σοφῶς ἐμάνθανε. Quae sequuntur, sunt pleraque ambiguae significationis, et ad obscenum sensum auditorum mentem deflectebant." BR. "De sensu verborum verissime judicavit Brunckius, sed de scriptura fallitur. Cum A. consentiunt Δ.Θ., annotato tamen in Θ γρ. τ' οὐκ ἀπέθανε. Sed quum libri antiquiores, R.V. et Γ., in vulgata scriptura consentiant, sic potius corrigendum videtur σοφός γ' ὁ Φαίαξ δεξιῶς τε κατέμαθε." DIND. Scribendum olim putabam σοφός γ' ὁ Φαίαξ δεξιῶς τ' ἐμάνθανε (vel δεξιός τ' ἦν μανθάνειν, vel δεξιός τε μανθάνειν, sc. ἐστὶ), collato v. 1238. ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες; Vel σοφός γ' ὁ Φαίαξ καὶ πιθανὸς καὶ δεξιός. Vel . . . δεξιός τ' οὐδ' ἀπίθανος. (Cf. 629. Th. 464. Thuc. VI. 35. πιθανὸς τοῖς πολλοῖς. Dem. p. 928, 14.) Tentabam etiam . . . δεξιός τ' ἀνὴρ λέγειν. Vel . . . δεξιός τ' ἐν τοῖς λόγοις. Vel . . . καὶ δυνατὸς ἀνὴρ (vel ἐν τῷ) λέγειν. Vel . . . ἀπέφυγέν τε δεξιῶς. Nunc mihi in vulgata acquiescendum videtur, et in expositione scholiastae: δεινὸς ῥήτωρ ὁ Φαίαξ οὗτος, ὡς καὶ ἀποφυγεῖν ἐπὶ θανάτῳ ἐπ' αὐτοφώρῳ κρινόμενος. Quae sine idonea causa pro commento grammaticorum habet Brunck. Confer locum ex Andocidis oratione IV. allatum in comm. Cum verbis δεξιῶς τ' οὐκ ἀπέθανε (*dextreque mortem evasit*) cf. Av. 139. καλῶς γέ μου τὸν υἱὸν . . . οὐκ ἔκυσας. Conjunguntur δεξιώτερον et σοφώτερον Vesp. 65-6. Pac. 1096. ἀλλ' ὁ σοφός τοι νὴ Δί' Ὅμηρος δεξιὸν εἶπεν. Sophocles δεξιὸς ἀνὴρ dicitur ab Ione Chio ap. Athen. XIII. 603 E. Cf. Eccl. 408. Εὐαίων ὁ δεξιώτατος | παρῆλθε. Vesp. 1345. σ' ὡς δεξιῶς ὑφειλόμην. Conjectura Dindorfiana nequaquam placet, δεξιῶς τε κατέμαθε. Nam καταμαθεῖν valet *intelligere, sentire, percipere*, ut in Herod. IV. 164. καταμαθόντες ἀγοράζοντα κτείνουσι. Latet fortasse ἀπέφυγε.

1378. συνερκτικὸς A.B.C.P.R. (συνέρκ.) S.V.Γ.Δ.Θ.X. Med. 8. Ald. Suid. h. v. συνεριστικὸς (i. e. συνερκτ.) idem in Φαίαξ. συνεργητικὸς Med. 8 sec. συνερτικὸς Mein. &c. et (ξυν.) Dind. Ribb. "Recte interpretatur schol: συνείρειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος εὐκόλως. Demosthenes p. 328, 12. εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς ἡσυχίας ὥσπερ πνεῦμ' ἐφάνη καὶ πεφωνασκηκὼς καὶ συνειλοχὼς ῥήματα καὶ λόγους συνείρει τούτους σαφῶς καὶ ἀπνευστί. Alia hujusmodi vide in Thesauro Stephani s. συνείρω. Ab συνείρειν autem non potest derivari συνερκτικός. Quamobrem συνερτικὸς scribendum." DIND. ξυνεκτικὸς Bergk. Comm. p. 337, ut sensus sit, *multa paucis comprehendens verbis*, Anglice, *comprehensive, concise, not diffuse.* Ulpian. ad Dem. Ol. I. sub fin. δεῖ ἐκ τῶν ἰσχυρῶν ἀεὶ καὶ τῶν συνεκτικῶν . . . τοὺς ἐπιλόγους λαμβάνειν. Vide tamen an reponendum potius ξυνακτικός, a ξυνάγειν *concludere* (Sext. Emp. P. I. 106), i. e. *conclusive*, i. q. συλλογιστικός. Demosthenis τὸ συνακτικὸν καὶ κρουστικὸν laudat Lucianus Dem. Encom. c. 32. μηδὲν μὲν ὁ Πύθων

καὶ γνωμοτυπικὸς καὶ σαφὴς καὶ κρουστικὸς,
καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ."
ΑΛ. οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ ;
ΔΗ. μὰ Δί', ἀλλ' ἀναγκάσω κυνηγετεῖν ἐγὼ
τούτους ἅπαντας παυσαμένους ψηφισμάτων.
ΑΛ. ἔχε νυν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν,
καὶ παῖδ' ἐνόρχην, ὅσπερ οἴσει τόνδε σοι·
κἤν που δοκῇ σοι, τοῦτον ὀκλαδίαν ποίει.
ΔΗ. μακάριος ἐς τἀρχαῖα δὴ καθίσταμαι.
ΑΛ. φήσεις γ', ἐπειδὰν τὰς τριακοντούτιδας
σπονδὰς παραδῶ σοι. δεῦρ' ἴθ', αἱ Σπονδαὶ, ταχύ.

πρὸς αὐτὸν . . . καὶ συνεχείαις ἀποδείξεων, καὶ τῷ συνακτικῷ γε καὶ κρουστικῷ. Quod si *συνερτικὸς* retineas, intelligendum videtur de eo, qui *in argumentis connectendis peritus* est, Anglice, *clever in stringing his arguments together.* Lucian. Somn. 8. *εἶπεν ἡ Τέχνη, μάλα δὴ σπουδῇ συνείρουσα,* &c. Id. de m. c. 27. *Ἰωνικὰ ξυνείρων.* Av. 1079. *συνείρων τοὺς σπίνους.*

1379. *γνωμοτυπικός*] Pro *γνωμότυπος*, ut in Nub. 950. Ran. 877. Nisi reponendum *γνωμότυπός τις.* Meinekius *γλωττοτυπικὸς* (*κακεμφάτως* et ambigue) malit. Fort. *γλουτοτυπικός.* *καὶ σαφής*] *κἀναφὴς* Herm. *καὶ συναφὴς* (sensu ambiguo) conj. Mein. Ambiguae enim potestatis esse omnia hic epitheta praeter *γνωμοτυπικός.* Cf. Th. 54-62. Verum videtur aut *καὶ συναφὴς*, aut *καὶ συνεχὴς* (*ξυνεχὴς ῥῆσις* Thuc. V. 85). *Κἀσαφὴς* vel *καὶ σοφὸς* malit Bergk. Comm. p. 338, cui perspicuitatem inter orationis virtutes ab istis juvenibus referri parum probabile videtur.

1380. *καταπληκτικὸς* conjecerat Bergk. Co. p. 338, ut Phaeax dicatur optime populi rumores comprimere posse. Cui conjecturae postea vidit repugnare Plutarchi de illo testimonium V. Alc. 13. *ἐντευκτικὸς γὰρ ἰδίᾳ καὶ πιθανὸς ἐδόκει μᾶλλον ἢ φέρειν ἀγῶνας ἐν δήμῳ δυνατός.* Qu. *καταληπτικός τε ῥᾷστα.* Facilis foret depravatio *τοῦ ῥᾷστα* in *ἄριστα.* Sed cf. 688. Nub. 529. Ran. 1395. Eccl. 111.

1381. ΧΟ. praef. libri (nulla persona in R.) et Ald. ΑΓ. Br. &c. (ΑΓ.) Bo. Schol: *ἄδηλος ὁ στίχος, καὶ πάντες αὐτὸν ἐσημειώσαντο διὰ τὸ ἀκατάλληλον· ἄδηλον γὰρ τίς τίνι λέγει.* *οὐκοῦν—.* A.B.C.P.R. (*οὐκ οὖν*) S.V.Γ.Δ.Θ. Med. 5. 8. 9. Ald. *οὔκουν—;* Θ *γρ.* sec. Suid. in *Φαίαξ.* Br. (tacite). Bo. Dind. Ko. Bergk. Mein. Ribb. Vels. Qu. *οὐ γὰρ—;*

1382. *κυνηγετεῖν*] *κυνηγεττεῖν* dici tradit Phrynichus in Bekkeri Anecd. p. 48, 30. De quo dixi ad Soph. Ajac. 5. DIND.

1383. *τούτους* B.C.R.S.V.Γ.Θ corr. X. *τούτοις* A.Δ.Θ. *παυσαμένοις* Δ. et (supr. *ους*) Θ. 1384. *νῦν* A.B.C.P.R.V.Γ.Θ. Med. 8.

1385. *ἐνόρχην* B.C.R.V.Γ corr. *ἔνορχιν* A.Γ.Δ.Θ.

1386. *γρ. δεήσοι* supra *δοκῇ σοι* in Med. 8. *κ' ἂν* R.V. *ποίει* B.S.X. *πόει* A.R.V.Γ.Δ.Θ.

1387. *ἐς τἀρχαῖα* B.S. *ἐς τ' ἀρχαῖα* C.P.R.V.Γ. *ἔστ' ἀρχαῖα* A.

1388. *γ'* A.B.S.V sec. m. X. &c. Ald. *δ'* R. *γὰρ* V pr. m. Cf. ad 1368. Pac. 916. 1351. 1389. *ἴθ'* B.C.R.V. &c. *ἴθι* A.Δ.Θ.

ΔΗ. ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαί. πρὸς τῶν θεῶν
ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι;
πῶς ἔλαβες αὐτὰς ἐτεόν; ΑΛ. οὐ γὰρ ὁ Παφλαγὼν
ἀπέκρυπτεν αὐτὰς ἔνδον, ἵνα σὺ μὴ λάβῃς;
νῦν οὖν ἐγώ σοι παραδίδωμ' ἐς τοὺς ἀγροὺς
αὐτὰς ἰέναι λαβόντα. ΔΗ. τὸν δὲ Παφλαγόνα,
ὃς ταῦτ' ἔδρασεν, εἴφ' ὅ τι ποιήσεις κακόν.
ΑΛ. οὐδὲν μέγ' ἀλλ' ἢ τὴν ἐμὴν ἕξει τέχνην·
ἐπὶ ταῖς πύλαις ἀλλαντοπωλήσει μόνος,
τὰ κύνεια μιγνὺς τοῖς ὀνείοις πράγμασι,
μεθύων τε ταῖς πόρναισι λοιδορήσεται,
κἀκ τῶν βαλανείων πίεται τὸ λούτριον.
ΔΗ. εὖ γ' ἐπενόησας οὗπέρ ἐστιν ἄξιος,

1391. *κατατριακοντουτίσαι* C. et (*κατα* in ras.) B. *κατατριακουντίσαι* (supr. *του*) A.

1392. *ἔλαβες ταύτας* A.C.P.V pr. Γ.Δ.Θ. Med. 5. *ἔλαβε ταύτας* B.R. (*ταυτας*, s. Vels.) S.V. (eraso *ς*) X. Med. 8. 9. Ald. *ελαβεταυτας* (sic, sec. Bekk.) R. *ἔλαβες αὐτὰς* Bentl. Tyrwhitt. Br. Dind. &c. *ἐτεόν*] *ἔνδον* B. ΑΛ. om. R.Δ.Θ. Med. 8.

1393. *ἀπέκρυπτε ταύτας* (*ταῦτας* R.) libri et vulg. Lege *ἀπέκρυπτεν αὐτὰς*, ut corrigit Hirschig. *σὺ μὴ* B.R.S.V.Γ sec. X. *μὴ σὺ* B.P.Γ.Δ.Θ. Ald. *σὺ μὴ λάβῃς* vel *μὴ συλλάβῃς* Bentl. *λάβῃς* A.B.C.P.R.S.V.Γ.Δ.Θ.X. Med. 8. Ald. Bergk. Ko. Mein. Vels. *λάβοις* Br. Dind. Reisig. Conj. p. 212. Ribb. Revocanda videtur librorum scriptura. Cf. Av. 73, ubi Trochilus ait: *οὔκ, ἀλλ' ὅτε περ ὁ δεσπότης | ἔποψ ἐγένετο, τότε γενέσθαι μ' ηὔξατο | ὄρνιν, ἵν' ἀκόλουθον διάκονόν τ' ἔχῃ* (*ἔχοι* B.Δ.). Recte ibi *ἔχῃ* dicitur, nam eo ipso tempore Trochilus Epopi servire fingitur. Cf. ad 880 supra. 1182. Av. 73. Ach. 1052. Pac. 208. Lys. 490. Nub. 1191. Vesp. 391. Pl. 91. Dawes. M. C. p. 83-4.

1394. *ἐς* R. Bekk. Dind. &c. *εἰς* A.B.C.P.S.V.Γ.Δ.Θ. vulg.

1396. *εἶφ'* B.V. *εἴφ'* A.C.P.R.Γ.Δ.Θ. Med. 8.

1397. Post *μέγ'* colon est in R. *ἀλλ'* A.B.C.R.V. &c. Br. &c. *ἆλλ'* S. Ald. Cf. 953. et vide comm.

1398. *ἐπὶ* A.C.R.V. &c. *ἐν* (corr. *ἐπὶ*) B. Cf. 1246-7. *πύλαισιν* S.V. *μόνος*] *μόνον* probabiliter Reisk. Qu. *μένων*. Idem nunc suadet Velsen. Vulgata sana videbatur Elmsleio.

1399. *κύνεια* A.B.R.V. &c. *κύνια* C. *μιγνύς*] *μιγνεὶς* B. *πράγμασιν* A.B. Med. 9. Ald. *πράγμασι* C.P.R.S.V. Med. 5. 8. Br. Qu. *πράγματα*.

1400. *τε* B.C.P.R.S.V.X. Med. 8. vulg. *δὲ* A.Γ.Δ.Θ. Hoc praeferendum. *ταῖς πόρναισι λοιδορήσεται*] *ταῖς πόρναις διαλοιδορήσεται* malit Mein., coll. 1403. *πόρναισι διακεκραγέναι*. Sed cf. Eccl. 248. Pl. 456.

1401. *κἀκ τῶν βαλανείων πίεται τὸ λοῦτρον* A.C. (*λοῦτρὸν*) P.R. (s. Vels. *λουτρὸν* s. Bekk.) Γ.Δ.Θ. Med. 5. 8. 9. Suid. in *λοῦτρον*. et (*λουτρὸν*) S.V. et lemma schol. in V. *κεἰς τὸ βαλανεῖον αὖ τὸ λοῦτρον πίεται* B.X. vulg. *κἀκ τῶν βαλανείων πίεται τὸ λούτριον* Elmsl. Dind. Mein. &c.

πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι·
καί σ' ἀντὶ τούτων ἐς τὸ πρυτανεῖον καλῶ
ἐς τὴν ἕδραν θ', ἵν' ἐκεῖνος ἧσθ' ὁ φαρμακός.
ἕπου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα·
κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην,
ἵν' ἴδωσιν αὐτὸν, οἷς ἐλωβᾶθ', οἱ ξένοι.

1404. *ἐς* R.S.V. *εἰς* A.B.C.P.Γ.Δ.Θ. Med. 8. Suid. in *ἕδρα*.

ἐν φορβειᾷ τοῖσι δικασταῖς ἔξοδον ηὔλησ' ἀπιοῦσι.
κῆν ἀποθνήσκων ὁ πατήρ τῳ δῷ καταλείπων παῖδ' ἐπίκληρον,
κλάειν ἡμεῖς μακρὰ τὴν κεφαλὴν εἰπόντες τῇ διαθήκῃ
καὶ τῇ κόγχῃ τῇ πάνυ σεμνῶς τοῖς σημείοισιν ἐπούσῃ,
ἔδομεν ταύτην ὅστις ἂν ἡμᾶς ἀντιβολήσας ἀναπείσῃ.
καὶ ταῦτ' ἀνυπεύθυνοι δρῶμεν, τῶν δ' ἄλλων οὐδεμιᾷ ἀρχῇ.
ΒΔ. τούτου γάρ τοι σε μόνου τούτων ὧν εἴρηκας μακαρίζω·
τῆς δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖς ἀνακογχυλιάζων.
ΦΙ. ἔτι δ' ἡ βουλὴ χὠ δῆμος, ὅταν κρῖναι μέγα πρᾶγμ' ἀπορήσῃ,
ἐψήφισται τοὺς ἀντιδίκους τοῖσι δικασταῖς παραδοῦναι.
εἶτ' Εὔαθλος χὠ μέγας οὗτος Κολακώνυμος ἀσπιδαποβλὴς
οὐχὶ προδώσειν ἡμᾶς φασιν, περὶ τοῦ πλήθους δὲ μαχεῖσθαι.
κἀν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτ' ἐνίκησεν, ἐὰν μὴ
εἴπῃ τὰ δικαστήρι' ἀφεῖναι πρώτιστα μίαν δικάσαντας.
αὐτὸς δὲ Κλέων ὁ κεκραξιδάμας μόνον ἡμᾶς οὐ περιτρώγει,
ἀλλὰ φυλάττει διὰ χειρὸς ἔχων καὶ τὰς μυίας ἀπαμύνει.
σὺ δὲ τὸν πατέρ' οὐδ' ὁτιοῦν τούτων τὸν σαυτοῦ πώποτ'
ἔδρασας.

582. φορβειᾷ B.C. φορβιᾷ R.S.V. τοῖς R. non B.C.S.V. ηὔλισ' S. ἀπιοῦσιν B.C.R.V. Ald. Dind. Mein. ἀπιοῦσι S.(?) Br.

583. κἂν vulg. Reposui κῆν. τῷ B.C. καταλείπων B.C.Δ. Flor. Chr. Br. Bentl. καταλιπων R. καταλιπὼν S.V. Ald.

584. κλάειν S. Br. κλαίειν B.C.R.V. Ald.

585. σημείοις S. non B.C.R. ἐποῦσιν S.V. non B.C.R.

586. ἀναπείσῃ B.C.R. ἀναπείθοι S.V.

588. τουτὶ γάρ τοι [melius μέντοι] σεμνόν· τούτων . . . Lenting. (Qui confert Eq. 777. τοῦτο μέν, ὦ Δῆμ', οὐδὲν σεμνόν. Angl: *no great thing*.) τουτὶ γὰρ τῶν σεμνῶν τούτων Richt. Qu. τούτου (τουδὶ) γάρ τοι (vel μέντοι) σε μόνου τούτων . . . Dicitur enim μακαρίζειν τινά τινος, non τι. γάρ τοι] Qu. μέντοι. Sed cf. 603. Th. 171. τοι B.C.R. τὸ S.V. σεμνὸν B.C.S.V. σεμνῶν R. Hirsch. Richt. σε μόνον optime Reisk. Pors. Dind. Bergk. Mein. Similiter πρὸσ ἔθεν in πρόσθεν abiit Eq. 1018.

589. Suspectum habet Hamaker.

590. χὠ B. χ' ὠ C. πρᾶγμ' C.S. πρᾶγμα B.R.V. Deinde πορίσῃ B.

591. τοὺς ἀδικοῦντας vulg. Malim τοὺς ἀντιδίκους.

593. ἡμᾶς vulg. Dind. ὑμᾶς Kust. Br. Inv. Bergk. Richt. Mein. φασὶν S. Br. φασὶ C.R.V. Ald. φησὶ B. τοῦ supr. in B. δὲ om. C.

595. δικαστήρια φῦναι S. δικαστήρια φῆναι Γ. πρῶτον μίαν ἐκδικάσαντας Hirschig. in Phil. Gott. 1850. p. 283.

596. αὐτὸ S. δ' ὁ Κλέων B.C. vulg. Dind. Bergk. δὲ Κλέων R.S.V. Richt. Mein. Recte, opinor. μόνον B.C. Flor. Chr. Br. μόνους R.S.V. Ald. περιτρώγοι V.

εἶτα Θέωρος· καἰτοὐστὶν ἀνὴρ Εὐφημίου οὐδὲν ἐλάττων·
τὸν σφόγγον ἔχων ἐκ τῆς λεκάνης τἀμβάδι' ἡμῶν περικωνεῖ.
σκέψαι μ' ὁπόσων ἀγαθῶν οἵων τ' ἀποκλῄεις καὶ κατερύκεις,
ἣν δουλείαν οὖσαν ἔφασκες καὶ ὑπηρεσίαν ἀποδείξειν.
ΒΔ. *ἔμπλησο λέγων· πάντως γάρ τοι παύσει ποτὲ κἀναφανήσει*
πρωκτὸς λουτροῦ περιγιγνόμενος τῆς ἀρχῆς τῆς περισέμνου.

599. *ἀλλὰ* vulg. Qu. *εἶτα.* *καίτοὐστιν* S. *καἰτόὐστιν* V. *καἰτοὐστὶν* Γ. Dind. *καίτοι 'στὶν* B. vulg. *καίτοῦστι* C. *καί που 'στὶν* (aut *καίπούστιν*) R. *καίτοὖστιν* Reisig. Synt. Crit. p. 18. *καί τοὐστὶν* Elmsl. ad Ach. 611. *καἰτοὐστί γ'* Br. ad Ach. 611. Cf. ad 27. et Ach. 611. etiam ad Nub. 876. *Εὐφημίου* vulg. *Εὐφημίδου* Mein. Dind. Antiquos enim Atticos dixisse *Εὔφημος, Εὔαγρος, Εὔαθλος,* &c., recentiores scriptores *Εὐφήμιος, Εὐάγριος, Εὐάθλιος,* &c. An *Εὐφήμου γ'*? Ut in re incerta vulgatam retinui.

600. *σπόγγον* libri. Bergk. Richt. *σφόγγον* Br. Dind. Mein. Cf. ad Ach. 463. *ἔχων* om. S. *ἑλὼν* conj. Reisk. Sc. *ἐκ τῆς λεκάνης.* Non male.

601. *σκέψαι δ'* (*δὲ* R. *μ'* V.) *ἀπὸ τῶν ἀγαθῶν οἵων* libri et vulg. *σκέψαι δέ μ' ὅσων ἀγαθῶν οἵων τ'* . . . conj. Bergk. Non male, sed vera scriptura mihi videtur *σκέψαι μ' ὁπόσων ἀγαθῶν οἵων τ'.* Vel *σκέψαι δέ μ' ὅσων ἀγαθῶν οἵων τ'* . . . Olim corrigebam *σκέψαι δέ μ' ἀφ' οἵων τῶν ἀγαθῶν.* Cf. 457. *τῦφε πολλῷ τῷ καπνῷ.* Sed parum hic convenit particula *δὲ*, et requiritur pronomen *με*. Vulgata certe ferenda non est. *δ'* B.C.S. *δὲ* R. *μ'* recte V. *τῶν*] *τῶνδ'* Hamaker. Mein. *οἵων*] *οἵων μ'* Hirsch. Mein. *ἀποκλείεις* vulg. *ἀποκλῄεις* Dind. Mein.

602. *οὖσαν* om. S.V. *χὐπηρεσίαν* B.V. *χ' ὑπηρεσίαν* Ald. *καὶ ὑπηρεσίαν* R.S. Bentl. Bergk. Mein. *αἱ* (sic) *ὑπηρεσίαν* C. *χὐπηρεσίαν* Br. Dind. Richt. "*καὶ ὑπηρεσίαν* R. Quod probari potest. Quanquam idem codex aliique *καὶ οὐδὲν* pro *κοὐδὲν* v. 741. et alia hujusmodi, crasi non raro neglecta." (Dind.) Semper, opinor, quando per metrum licet, negligitur crasis in versibus anapaestis. Sic Pac. 1319. *καὶ Ὑπέρβολον ἐξελάσαντας.* 772. *καὶ μὴ ἀφαίρει.* Nub. 306. *ναοί θ' ὑψερεφεῖς καὶ ἀγάλματα.* 1007. *μίλακος ὄζων καὶ ἀπραγμοσύνης* . . . Pl. 549. *εἶναι ἀδελφήν.* Lys. 571. *καὶ ἀτράκτων.* Pherecr. Athen. 269 C. *ζωμοῦ μέλανος καὶ Ἀχιλλείοις μάζαις.* Eur. Tro. 783. *καὶ ἀναιδείᾳ* . . . (anap.). El. 1317. *καὶ ἐπ' ἀλλοτρίαις* . . . (anap.). Iph. A. 5. *καὶ ἐπ' ὀφθαλμοῖς* (anap.). Hipp. 246. *καὶ ἐπ' αἰσχύνην ὄμμα τέτραπται* (anap.). Contra crasis servatur Nub. 363. *κἀνυπόδητος κακὰ πόλλ' ἀνέχει.* Aesch. Eum. 930. *χαίρετε χὑμεῖς* (anap. dim.). Cf. Pors. Praef. Hec. p. 46. Crasis *χὐπὸ* exstat Eur. Iph. A. 1118. Theodect. Thy. Fr. 1. *χὑμνοθέτης* Theocr. Epigr. 11, 4. De crasi *καὶ ὑ-* v. Meinek. Fr. Com. IV. 670. *ἀποδείξειν* B.R.S.V. *ὑποδείξειν* C.

604. *περιγιγνόμενος* R.(?) Br. *περιγινόμενος* B.C.V. Kust. *περιγενόμενος* S. Ald. *τῆς περισέμνου* vulg. *τῆς περισεμνός* V. An *τῆς πάνυ σεμνῆς*? Cf. 628. *οἱ πλουτοῦντες καὶ πάνυ σεμνοί.* 585. *τῇ πάνυ σεμνῶς τοῖς σημείοισιν ἐπούσῃ.* Vel *τῆς περισήμου* (Eur. Herc. 1018. Mosch. 1, 6), vel *τῆς ἀρισήμου* (Theocr. 25, 158. Hom. Merc. 12. Tyrt. 8, 29). Vulgata mendosa videtur.

ΦΙ. *ὃ δέ γ' ἥδιστον τούτων ἐστὶν πάντων, οὗ 'γὼ 'πελελήσμην,*
ὅταν οἴκαδ' ἴω τὸν μισθὸν ἔχων, κᾆτ' εἰσελθόνθ' ἅμα πάντες
ἀσπάζωνται διὰ τἀργύριον, καὶ πρῶτα μὲν ἡ θυγάτηρ με
ἀπονίζῃ καὶ τὼ πόδ' ἀλείφῃ καὶ προσκύψασα φιλῇ με,
καὶ παππίζουσ' ἅμα τῇ γλώττῃ τὸ τριώβολον ἐκκαλαμᾶται·
καὶ τὸ γύναιόν μ' ὑποθωπεῦσαν φυστὴν μᾶζαν προσενέγκῃ,

605. Ante h. v. posuerit Hamakerus vv. 578-82. *ὃ δέ γ' ἥδιστον*] *ὃ δ' ἔθ' ἥδιστον* [*ἥδιον*?] conj. Pors. *οὗ 'γώ*] *οὐ γὰρ* S.V. Qu. *οὗ ἐγώ*. *'πιλελήσμην* (*πιλ.* B.C.) libri et vulg. Dind. Richt. *'πελελήσμην* Bl. ad Ach. 10. Mein. Cf. 853. *ὁτιὴ 'πελαθόμην* (al. *'πιλαθ.*). Plat. p. 201 C. *ἐπιλέληστο* (l. *ἐπελ.*).

606. *κἄπειθ'* B.C.Δ. Ald. Brunck. Hirschig. Bergk. *κἄπειτ'* R. *κᾆτ'* V. (s. Bekk.) *κᾆθ'* V. (s. Cob.) *κᾆτ'* S. Fl. Chr. Kust. Pors. Mein. Dind. *εἶτ'* Richt. *εἰσήκονθ' ἅμα* C.R. Ald. Flor. Chr. Kust. Pors. Bekk. Dind. *εἰσήκονθάμε* V. (s. Cob.) *εἰσήκοντα με* V. (s. Bekk.) *εἰσήκοντά με* S. Mein. Richt. *ἥκονθ' ἅμα* B.Δ. Br. Dind. Hirsch. Bergk. *εἰσελθόνθ' ἅμα* Hirschig. Ann. Crit. p. 72. (coll. 560. *εἶτ' εἰσελθὼν ἀντιβοληθεὶς* . . . et 500. 579). *κᾆτ' εἰσήκονθ' ἅμα* prob. Fritzch. ad Thesm. 1148. *κᾆτ' εἰσέρποντά με* malit Mein. "*ἥκονθ' ἅμα* B.Δ.: quae haud dubie conjectura grammatici est *κἄπειθ' ἥκονθ' ἅμα* legentis, sed vera fortasse. Nam composito verbo si usus esset Aristophanes, *εἰσελθόντα* potius dixisset." (Dind.) Displicet *εἰσήκονθ'* aut *εἰσήκοντα*. Reponendum videtur aut *κᾆτ' εἰσελθόνθ' ἅμα* aut *κἄπειθ' ἥκονθ' ἅμα*. Sed, quum requiri videatur pronomen, nescio an praestet *καί μ' εἰσελθόνθ' ἅμα*. Saepe vero in libris permutantur *ἐλθεῖν* et *ἥκειν*. Cf. Pl. 1190. *αὐτόματος ἥκων* (*ἐλθ.* A.V.). et ad 824. *Ἥκειν* per *ἐλθεῖν* explicat Triclinius ad Soph. Ant. 1278. Cf. 107. *εἰσέρχεται* (*domum redit*). 500. 560. 579. Theophr. Char. 10. *ὀψωνῶν μηδὲν πριάμενος εἰσελθεῖν*. Lucian. Tox. 15. *καὶ εἰσελθόντι προσδραμεῖν*. *Ἥκειν* autem saepe valet *redire, redux esse*, ut in Lys. 595.

607. *ἀσπάζωνται* B.C.V. Scal. Reisk. Br. &c. *ἀσπάζονται* R.S. Ald.

608. *ἀλείφει* R.S. *προσκύσασα* S.V. *φιλήσῃ* vulg. *φιλῇ με* Richt. Mein. *φιλοῦσα* . . . speciose corrigit Hirschig. Ann. Crit. p. 72, qui "Quomodo filia expiscetur triobolum *παππίζουσα* fateor me non intelligere. Praeterea aoristus *φιλήσῃ* hic aliquid incommodi habet. Participia similiter cumulata habent vv. 560. 684-5." Apte consociantur participia *προσκύψασα φιλοῦσα*, ut in Ran. 1097. *ὑποπερδόμενος φυσῶν*, quia actiones duae arcte inter se connectuntur. Recte autem variant tempora: priori enim *προσκύψασα* actio semel facta exprimitur, altera *φιλοῦσα* repetita et continua.

609. *παππίζουσ'* S.V. Suid. in *ἐκκαλαμᾶσθαι*. Bentl. Dind. Hirsch. Bergk. Mein. *παππάζουσ'* B.C.R. vulg. Richt. Eustathius p. 565, 31. *ἰστέον καὶ ὅτι κωμῳδίας ἴδιον παππίζειν διὰ τοῦ ῑ τὸ καθ' Ὅμηρον παππάζειν*. *τὸ* om. libri et Suid. add. Flor. Chr. &c.

610. *ὑποθωπεῦσαν* . . . *φυστὴν*] *ἐπιθωπεῦσαν* . . . *φύστην* Suidas in *φύστη*,

κἄπειτα καθεζομένη παρ' ἐμοὶ προσαναγκάζῃ, "φάγε τουτὶ,
ἔντραγε τουτί." τούτοισιν ἐγὼ γάννυμαι, κεἰ μή με δεήσει
ἐς σὲ βλέψαι καὶ τὸν ταμίαν, ὁπότ' ἄριστον παραθήσει
καταρασάμενος καὶ τονθορύσας. ἀλλ', ἤν μή μοι ταχὺ
μάξῃ, 614
*τάδε κέκτημαι πρόβλημα κακῶν *σκευὴν βελέων ἀλεωρήν.*
κἢν οἶνόν μοι μὴ 'γχῇς σὺ πιεῖν, τὸν ὄνον τόνδ' ἐσκεκόμισμαι
οἴνου μεστὸν, κᾆτ' ἐγχέομαι κλίνας· οὗτος δὲ κεχηνὼς
βρωμησάμενος τοῦ σοῦ δίνου μέγα καὶ στράτιον κατέπαρ-
δεν.

Nam hoc accentu grammatici quidam hoc vocabulum scribebant. Ego Herodianum sequor. DIND. *μάζαν* libri et vulg. *μᾶζαν* Dind. &c.

611. *προσαναγκάζει* S.

612. *τούτοισιν* S.V. Bentl. Br. Elmsl. ad Ach. 7. &c. *τοῖσιν* B.R. Ald. *τοῖσι* C. *τοίοισιν* Pors. *γάνυμαι* C.S.V. *γάννυμαι* B. *γάνυμι* R. *καὶ μή με δεήσῃ* B.C.R.S.V. *καὶ μή με δεήσει* Br. Inv. Hirsch. *κοὐ μή με δεήσει* Dobr. (soloece). *κοὐ μή με δεήσῃ* Lenting. Fritzch. ad Ran. 41. Mein. Richt. conj. Bergk. *κεἰ μή με δεήσει* Elmsl. ad Oedip. R. 662. Dind. Recte, ut videtur. Cf. Xen. Oecon. VII. 42. *τὸ δὲ πάντων ἥδιστον, ἐὰν βελτίων ἐμοῦ φανῇς . . . καὶ μὴ δέῃ σε φοβεῖσθαι μὴ . . . ἀτιμοτέρα ἐν τῷ οἴκῳ γένῃ.*

613. *εἰς* libri et vulg. *ἐς* Dind. &c. *ὁπότ' ἄριστον*] *ὅτε τἄριστον* conj. Richt. *πότε τἄριστον* potius debebat. *παραθήσῃ* R.

614. *τονθορύσας, ἄλλην . . . μάξῃ.* vulg. Bergk. Richt. Dind. *τονθορύσας. ἀλλ' ἢν . . . μάξῃ,* Elmsl. l. l. Dobr. Hirsch. Qu. *τονθορύσας. μᾶζαν δ' ἢν μὴ ταχὺ μάξῃ.* Vel *τονθορύσας. ἢν γὰρ μή μοι ταχὺ μάξῃ,* &c. Post *μάξῃ* lacunam indicat Mein., ejectis versibus 615-618. *ἄλλην* B.C.R.S.V. vulg. *ἀλλ' ἢν* Γ. Elmsl. Dobr. Dind. Mein. Hirsch. Cf. 616. *μή μοι*] *μοι μὴ* malit Hirschig. Ann. Crit. p. 72, coll. v. 616. *μάξῃ*] An *μάξῃς*? Cf. 616. *κἢν οἶνόν μοι μὴ 'γχῇς σὺ πιεῖν.*

615-8. Hos versus "multas ob causas suspectos" ejiciunt Hamaker. Mein. *τάδε*] Malim *τόδε* (*πρόβλημα*). Dicit autem *τἀργύριον* (607) sive *τὸ τριώβολον* (609). Schol: *τὰ ἐκ τοῦ δικαστηρίου χρήματα.* *σκευήν*] Hoc suspectum habeo, ejusque loco epithetum desidero quale est *πιστὴν* vel *στυγνῶν*. An *πρόβλημα κακῶν βελέων, δῄων ἀλεωρήν*? Conjunctae sic forent duae locutiones Homericae, *κακῶν βελέων ἀλεωρὴ* (Il. π'. 134) et *δηΐων ἀνδρῶν ἀλεωρή* (Il. μ'. 55). Scholiasta *σκευὴν* per *πανοπλίαν* interpretatur. Idem *ἀλεωρὴν* per *σκέπην* explicat. Unde *σκευὴν* nihil aliud esse quam glossema *σκέπην* suspicari licet. Qu. *χρηστὴν* aut *χρηστόν.*

616. *μὴ 'γχῇς* B.C.R.S.V.Δ. Flor. Chr. Reisk. *μ' ἐγχεῖς* Γ. *μὴν 'κχῇς* Ald. *ἐσκεκόμισμαι* B.C.R.V. *ἐσκεκόμισαι* S.

617. *κᾆτ' ἐγχέομαι κλίνας*] Qu. *κᾆτ' ἐγχέομαί γε κλινεὶς*, aut *κἄπειτα κλινεὶς ἐγχέομ'.* *κλίνας* B.R.V. *κλίνεις* (sic) C.

618. *δίνου* B.C.S.V. *δείνου* R. Quae frequens est in codicibus hujus nominis scriptura, ut monuit Dind. *κατέπαρδε* V.

ἆρ' οὐ μεγάλην ἀρχὴν ἄρχω
καὶ τῆς τοῦ Διὸς οὐδὲν ἐλάττω,
ὅστις ἀκούω ταὔθ' ἅπερ ὁ Ζεύς;
ἢν γοῦν ἡμεῖς θορυβήσωμεν,
πᾶς τίς φησιν τῶν παριόντων,
"οἷον βροντᾷ τὸ δικαστήριον,
ὦ Ζεῦ βασιλεῦ."
κἢν ἀστράψω, ποππύζουσιν.

619-20. Unum versum (om. *τῆς*) efficiunt Pors. Inv. Both. Mein. Bergk. non Dind. Hirsch. Richt.

620. *τῆς* add. B.C. Ald. Br. om. R.S.V.Γ. Pors. &c. *ἐλάσσω* V.

621. *ταῦθ' ἅπερ* B.R.S.V. vulg. *ταῦθα ὅσπερ* C. *ταὔθ' ἅπερ* Dind. Mein. Hirsch. Bergk. Richt. Cf. 767. *ταῦθ'* (*ταὔθ'* ?) *ἅπερ ἐκεῖ πράττεται.* Eq. 213. *ταῦθ'* (*ταὔθ'* recte Cobet. Mein.) *ἅπερ ποιεῖς ποίει.* Soph. Oed. R. 574. *ἐγὼ δὲ σοῦ | μαθεῖν δικαιῶ ταῦθ'* (*ταὔθ'* Br. Elmsl.), *ἅπερ κἀμοῦ σὺ νῦν.* Phil. 1397. *ἔα με πάσχειν ταῦθ' ἅπερ παθεῖν με δεῖ.* Eur. Or. 1123. *καὶ νῷν πάρεσται ταῦθ'* (*ταὔθ'* ?) *ἅπερ κείνῃ τότε.* Herod. IX. 46. *ἐν νόῳ ἐγένετο εἰπεῖν ταῦτα τάπερ ὑμεῖς φθάντες προφέρετε.* Thuc. II. 67. *δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι, οἷσπερ καὶ . . .* V. 77. *ἐν τῷ αὐτῷ . . . ἐν τῷπερ . . .* et 79. V. 77. *ἐν τοῖς αὐτοῖς . . . τοῖσπερ . . .* Xen. An. II. 1. 22. *ἡμῖν ταὐτὰ δοκεῖ ἅπερ καὶ βασιλεῖ.* Dem. p. 189. *τὴν αὐτὴν λαβεῖν παράνοιαν ἐκεῖνον ἥνπερ ποτὲ τοὺς προγόνους αὐτοῦ.* p. 153. *τὸν αὐτὸν τρόπον ὅνπερ . . .* p. 356. *τὴν εἰρήνην εἶναι τὴν αὐτὴν ἥνπερ Φιλίππῳ.* p. 996. *ἢ οἴσουσι . . . τὸν αὐτὸν τρόπον ὅνπερ καὶ τοὺς ἄλλους.* p. 1127. *πεπονθότα . . . ταῦθ'* (*ταὔθ'* ?) *ἅπερ ἡμεῖς ὑπὸ τούτου.* p. 1228. *τὸν αὐτὸν τρόπον . . . ὅνπερ ἐγώ.* Andoc. I. 77. *ψηφίσασθαι τὸν δῆμον ταῦτα* (*ταὐτὰ* ?) *ἅπερ ὅτε ἦν τὰ Μηδικά.* Lys. XXV. 30. *ταῦτα* (*ταὐτὰ* ?) *γὰρ . . . εὔχεσθε ἅπερ ἐκείνους ἑωρᾶτε ποιοῦντας.* Plat. Euthyd. 277. *ποιεῖτον δὲ ταὐτὸν ὅπερ οἱ* &c. Id. Symp. 178. *ταῦτα δὴ καὶ οἱ ἄλλοι . . . ἐκέλευον ἅπερ ὁ Σωκράτης.* Id. Soph. 217. *ταῦτα ἅπερ πρὸς σὲ νῦν καὶ τότε ἐπεσκήπτετο* &c. Id. Hipp. min. 366. *καὶ σοὶ συνδοκεῖ ταῦτα ἅπερ φῂς Ὅμηρον λέγειν.* Id. Men. 100. *σὺ δὲ ταῦτα ἅπερ αὐτὸς πέπεισαι.* Id. Crit. 50. *ἅπερ πάσχεις, ταῦτα καὶ ἀντιποιεῖν.* Lucian. Jup. Trag. 5. *κἀμοὶ ταῦτα ξυνδοκεῖ, ἅπερ καὶ τούτῳ.* Id. Phil. 12. *πρῴην κἀγὼ ταῦτα ἔπασχον ἅπερ σύ.* Id. V. A. 18. *οὐχ ὁρῶ ταῦθ' ἅπερ λέγεις, τὰ παραδείγματα.* *ἅπερ* B.S.V. Ald. *ὥσπερ* R. *ὅσπερ* C.

622. *γοῦν* B.R.S.V. *μὲν οὖν* C.

623. *φησιν* R.S. *φησι* B.C. *φησὶ* V.

623-4. "Lege *πᾶς τίς φησιν τῶν παριόντων | τὸ δικαστήριον, οἷον βροντᾷς, | ὦ Ζεῦ βασιλεῦ.*" PORSON. Alioqui enim non eadem quae Jovem audire Philocleonem.

624. *τὸ δικαστήριον* C.R.S.V. *τὰ δικαστήρια* B.

626. *πτύζουσιν* (sic) S. *ποππύζουσίν τ' ἐγκεχόδασίν θ'* Lenting., quem offendit pronomen. *ποππύζουσιν* vulg. An *πυππάζουσιν*? Eq. 680. *οἱ δ' ὑπερεπῄνουν ὑπερεπύππαζόν τέ με.* Unde exclamatio admirationis *πύππαξ.* *κἀγκεχόδασί μ'* C. *καγκεχόδασι μ'* (sic) V. et (*με*) B. Br. *κἂν κεχόδασίν μ'* S. *καικέγκεχόδασίν μ'* R. *κἂν κεχόδασί με* Ald. *κἀγκεχόδασίν μ'* Bekk.

κἀγκεχόδασίν μ' οἱ πλουτοῦντες
καὶ πάνυ σεμνοί,
καὶ σὺ δέδοικάς με μάλιστ' αὐτὸς,
νὴ τὴν Δήμητρα δέδοικας· ἐγὼ δ'
ἀπολοίμην, εἴ σε δέδοικα.

ΧΟ. οὐπώποθ' οὕτω καθαρῶς ἀντ.
οὐδενὸς ἠκούσαμεν οὐ-
δὲ ξυνετῶς λέγοντος.

ΦΙ. οὐκ, ἀλλ' ἐρήμας ᾧεθ' οὗτος ῥᾳδίως τρυγήσειν·
καλῶς γὰρ ᾔδειν ὡς ἐγὼ ταύτῃ κράτιστός εἰμι.

ΧΟ. ὡς δ' ἐπὶ πάντ' ἐλήλυθεν
κοὐδὲν παρῆλθεν, ὥστ' ἔγωγ'
ηὐξανόμην ἀκούων,
κἂν μακάρων δικάζειν

Dind. Bergk. &c. κἀγκεχόδασίν γ' Herm. Mein. Fritzch. ad Ran. 479. (ut fortius sit ἐγχέζειν quam ποππύζειν).

628. *με* om. S.V.

629. ΒΔ. *νὴ* . . . B. Lineola, mutatae personae index, ante *νὴ* in R. Nulla persona in C.S. et vulg. *δήμητραν* R. non B.C.S.V. *δέδοικας. ἐγὼ δ'* C.R.S.V. vulg. *δέδοικά σ' ἐγώ* (om. δ'). B. Haec sic legenda et distribuenda suspiceris, ΒΔ. *νὴ τὴν Δήμητρα δέδοικά σ'.* ΦΙ. *ἐγὼ δ'* . . . Sed nil mutandum.

630. *εἴ σε* vulg. Praestat fortasse *εἰ σέ.*

631. *οὔπωθ'* (sic) S.

633. *λέγοντος.* vulg. *λέγοντος,* . . . Mein.

634. *οὐκ, ἀλλ'*] *οὔκουν* Mein. *ἀλλ' οὐκ* scribendum esse contendit Bergk. *ἔρημος* B pr. *ᾧεθ'*] *ὤονθ'* R. a pr. m. *οὗτος* B.C.S. Dawes. Pors. Br. Dind. Bergk. Richt. *οὕτως* R. *οὕτω* V. Ald. Lenting. Bergk. Hirsch. prob. Mein. *οὕτως* defendit Dobraeus, coll. Demosth. p. 1077, 17. *οὗτος δ' οὑτωσὶ ῥᾳδίως κατεφρόνησε καὶ τῶν νόμων* &c. Lysia 150, 35. 174, 32. Vide ejusdem Adv. I. 419. Cf. 461. *ἀλλὰ μὰ Δί' οὐ ῥᾳδίως οὕτως αὐτοὺς ἂν διέφυγες.* Ach. 214. *οὐκ ἂν* . . . *ὧδε φαύλως* . . . *ἀπεπλίξατο.* Eccl. 666. *οὐχ ὑβριεῖται φαύλως οὕτως* . . . Eq. 783. *σκληρῶς* . . . *οὕτως.* Eur. Suppl. 159. *οὕτω* . . . *ῥᾳδίως.* Iph. A. 899. *οὐχ ἁπλῶς οὕτω φέρω.* Plat. Legg. 817 C. *ῥᾳδίως οὕτως.* Phil. 12 C. *οὕτως ἁπλῶς.* Isae. IV. 31. *οὕτω ῥᾳδίως.* Dem. p. 665. *τετυφωμένως οὕτως.* Xen. Cyr. II. 2. 22. *εἰκῇ οὕτως.* Anglice, *in this easy fashion.* Sed requiri videtur pronomen *οὗτος* haud minus quam in vv. 642. 535. 538. Cf. Isae. XI. 29. *οὗτος* (*οὕτως* Z.) *τοίνυν ῥᾳδίως* . . . *ψευδόμενος* &c.

635. *ᾔδειν* libri et vulg. *ᾔδην* Elmsl. ad Ach. 35. Richt. Male.

636. *ὡς δὲ πάντ' ἐπελήλυθεν* (-*θε* C.) libri et vulg. Bergk. Richt. *ὡς δ' ἐπὶ πάντ' ἐλήλυθεν* Pors. Dind. *ὡς ὅδε πάντ' ἐπῆλθε κοὐ-|δέν τι* Herm. Mein.

637. *κοὐδέν τι παρῆλθεν* Herm. Mein. Qu. *κοὔτι παρῆλθεν.* Cf. ad v. str. 532. *ἔγωγ'*] *ἐγὼ* Herm. El. D. M. p. 427.

εὐθὺς ἔδοξα νήσοις,
ἡδόμενος λέγοντι.

ΦΙ. *ὡς δ' οὗτος ἤδη σκορδινᾶται κἄστιν οὐκέθ' αὑτοῦ.*
ἦ μὴν ἐγώ σε τήμερον σκύτη βλέπειν ποιήσω.

ΧΟ. *δεῖ δέ σε παντοίας πλέκειν*
εἰς ἀπόφυξιν παλάμας.
τὴν γὰρ ἐμὴν ὀργὴν πεπᾶ-
*ναι χαλεπὸν * * * **
μὴ πρὸς ἐμοῦ λέγοντι.
πρὸς ταῦτα μύλην ἀγαθὴν ὥρα ζητεῖν σοι καὶ νεόκοπτον,
ἢν μή τι λέγῃς, ἥτις δυνατὴ τὸν ἐμὸν θυμὸν κατερεῖξαι.

ΒΔ. *χαλεπὸν μὲν καὶ δεινῆς γνώμης καὶ μείζονος ἢ 'πὶ τρυγῳδοῖς*
ἰάσασθαι νόσον ἀρχαίαν ἐν τῇ πόλει ἐντετακυῖαν.

640. *αὐτὸς* vulg. Supervacaneum hic videtur pronomen. Legendum suspicor *αὐτίκ'* aut potius *εὐθύς*. Cf. ad 422.

642. *ὥσθ'* libri et vulg. *ὡς* Dind. Mein. *ὡς δ'* Hirsch. Recte, opinor. *οὐκ ἐν αὑτοῦ* B.C.V. vulg. Bekk. Dind. Bergk. Mein. Richt. *οὐκ ἐν αὑτῷ* R. Flor. Chr. *ἐν αὑτοῖς* S. *οὐκέθ' αὑτοῦ* Flor. Chr. Bentl. Dobr. *οὐχ ἑαυτοῦ* Bentl. Reponendum aut *οὐκ ἐν αὑτῷ*, aut *οὐκέθ' αὑτοῦ*. Hoc praestare videtur. Alioqui dicendum fuisset potius *κοὐκ ἔστιν ἐν αὑτοῦ*. Cf. Soph. Oed. C. 659. *ὁ νοῦς ὅταν | αὑτοῦ γένηται*. Phil. 950. *ἀλλὰ νῦν ἔτ'* (*ποτ'* ?) *ἐν σαυτῷ* (sic vulg. sed *σαυτοῦ* A.) *γενοῦ*. Vide comm.

643. ΦΙ. cont. vulg. Dind. Mein. Richt. ΒΔ. praef. Hamaker. Bergk. *σκύτη βλέπειν* R.S.V.Γ. lemma schol. Bentl. Kust. Br. &c. *βλέπειν σκύτη* B.C. Ald.

644. *δέ σε* vulg. *δὲ* (om. *σε*) R. Qu. *δὲ σέ*.

645. *ἀπόφευξιν* libri et vulg. *ἀπόφυξιν* Dind. &c. Cf. 558. 562. *παλάμας*] *μηχανὰς* add. S. Quod glossema est.

647. *χαλεπὸν* libri et vulg. *χαλεπὸν νεανίᾳ* Pors. *χαλεπόν γε παντὶ τῷ* conj. Richt. ad v. 544. Supplere possis *γενήσεται*, aut *μάλιστα τῷ*, aut *πρᾶγμ' ἐστὶ τῷ*, aut *σφόδρα 'στὶ τῷ*. Sed quid reponendum sit omnino incertum est. Lacunam indicant Dind. Mein.

648. *ὅρα* R. *νεώκοπτον* S.

649. *ἢν μή τι*] *ἢν μοί τι* Bergk. *δυνατή*] Metrum quidem pateretur *δύναται*, sed v. ad Lys. 565. *κατερῦξαι* pr. m. (ut vid.) S.

650. *καὶ μείζονος* om. S.V.

651. *ἐν τῇδε* S.V. *ἐντετοκυῖαν* B.C.R.V. vulg. *ἐντετηκυῖαν* S. *ἐντετακυῖαν* Reisk. Idem ipse conjeceram, ut et *ἐγγεγονυῖαν*, *ἐγγεγαυῖαν* (Il. γ'. 199). Scholiasta enim *ἐγγενηθεῖσαν* explicat. Parum dubito quin vera scriptura sit *ἐντετακυῖαν* (i. q. *ἐντετηκυῖαν*), antepenultima correpta ex usu epicorum ut in *ἀραρυῖα*, *λελακυῖα*, *γεγαυῖα* (*ἐκγεγαυῖα* Hes. Op. 256), *τεθαλυῖα* (Hesiod. Theog. 903. *Εἰρήνην τεθαλυῖαν*), *ἐμπεφυυῖα*, *πεφύασιν* (Theocr. 25, 20), &c. Sic Homero *ἀρηρότες* (Od. 2, 342), sed *ἀραρυῖαι* (ᾰ, Il. 5, 744. &c.). Ingeniosa conjectura est Hirschigii (Ann. Crit. p. 72.) *νόσον ὀρχαίαν οὕτω*

ἀτὰρ, ὦ πάτερ ἡμέτερε Κρονίδη — ΦΙ. *παῦσαι καὶ μὴ πατέριζε.*
εἰ μὴ γὰρ ὅπως δουλεύω 'γὼ, τουτὶ ταχέως με διδάξεις,
οὐκ ἔστιν ὅπως οὐχὶ τεθνήξεις, κἢν χρῇ σπλάγχνων μ' ἀπέχεσθαι.
ΒΔ. *ἀκρόασαί νυν, ὦ παππίδιον, χαλάσας ὀλίγον τὸ μέτωπον·*
καὶ πρῶτον μὲν λόγισαι φαύλως, μὴ ψήφοις, ἀλλ' ἀπὸ χειρὸς,
τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων συλλήβδην τὸν προσιόντα·
κἄξω τούτου τὰ τέλη χωρὶς καὶ τὰς πολλὰς ἑκατοστὰς,
πρυτανεῖα, μέταλλ', ἀγορὰς, λιμένας, μισθώσεις, δημιόπρατα.
τούτων πλήρωμα τάλαντ' ἐγγὺς δισχίλια γίγνεται ἡμῖν.
ἀπὸ τούτων νυν θὲς τὸν μισθὸν τοῖσι δικασταῖς ἐνιαυτοῦ,

πολλὴν γεγονυῖαν, conferentis Plat. Apol. 24 A., ubi *πολλὴ γεγονυῖα* dicitur *διαβολή*. Transitivum est *τετοκυίας* (*ὄλεθρον*) Pac. 757.

652. *ἀτὰρ* B.C.V. Ald. Dind. Mein. *αὐτὰρ* S. *ἀλλ'* R. Br. Bekk. Richt.

653. *δουλεύω . . . ὅπως* om. S. *διδάξεις* R.S.V. Pors. Br. *διδάξῃς* B.C. Ald. *ἢν . . . διδάξῃς*, ut in minis, malit Lenting. Cf. 649.

654. *τεθνήξει* B.S. Br. Richt. *τεθνήσει* C.R.V. Ald. *τεθνήξεις* Elmsl. ad Ach. 590. Dind. &c. Cf. Ruhnk. Tim. p. 158. Elmsl. ad Ach. 590. Est autem, ut videtur, lectio *τεθνήσει* nihil aliud quam *τεθνηξ͂ει* (i.e. *τεθνήξεις*). *κἂν* V. *χρῇ* R.S.(?) Br. *χρὴ* B.C.V. Ald. *μ'* om. S.

655. *νῦν* libri et vulg. *νυν* Dind. ante *χαλάσας* in S. *παππίδιον* B.C. Kust. *παπίδιον* R.S.V.Γ. Ald.

656. *πρῶτον*] *πρῶτα* Suid. in *φαύλως πάνυ*. *ὑπὸ χειρὸς* Suid. in *φαύλως*. Cf. ad Eccl. 4. Soph. Oed. R. 1131.

657. *τὸν προσιόντα*] *νῦν προσιόντα* Hamaker.

658. *κἔξω* S.

659. *μισθοὺς καὶ* B.C. vulg. *καὶ* om. R.S.V. et Suid. in *πρυτ.* *μισθώσεις* conj. Bergk. Recte, opinor. Cf. Isaeus. V. 19. *λαμβάνων μίσθωσιν ὀγδοήκοντα μνᾶς*. V. 56. *Μισθώσεις τεμενῶν* in Tab. XLVII. Rose.

660. *γίγνεται* R.S.V. *γίνεται* B. *γένετε* (sic) C.

661. *τούτων* B.C.S.V. vulg. *τούτου* R.Γ. Bergk. Fortasse recte. *νῦν* libri. *νυν* R.(?) Br. &c. *κατάθες μισθὸν* R.S.V. Bekk. Dind. *μισθὸν κατάθες* B. vulg. *μισθῶ κατάθες* C. Qu. *ἀπὸ τούτων νυν θὲς τὸν μισθόν*. Vel *ἀπὸ τούτων τοίνυν θὲς μισθόν*. Sed, quum aegre desideretur articulus ante *ἐνιαυτοῦ*, vide an corrigendum potius sit *ἀπὸ τούτων νυν τοῖσι δικασταῖς θὲς μισθὸν* (vel *μ. θ.*) *τοῦ γ' 'νιαυτοῦ*. Causa pravatae scripturae fuerit, ut alibi sexcenties, transpositio verborum. Istud *κατάθες* ortum videtur ex -*κασταῖς θὲς*. Adde quod *θὲς* hic postulat sermonis usus, non *κατάθες*, quod valeret *solve*, Anglice, *lay down, pay*, ut in Nub. 246. &c. Cf. Lys. 32, 44. *θήσω ὅσον οὐδεὶς πώποτε . . . εἰς δύο παῖδας . . . χιλίας δραχμὰς ἑκάστου ἐνιαυτοῦ*. Tentabam etiam *ἀπὸ τούτων θὲς μισθὸν ἑκάστου τοῖσι δικασταῖς ἐνιαυτοῦ*. Cf. Ach. 859. *τοῦ μηνὸς ἑκάστου.*
τοῦ 'νιαυτοῦ R.S.V. (s. Cob.) *τοὐνιαυτοῦ* C. *τοῦ ἐνιαυτοῦ* B. Ald. &c. *ἐνιαυτοῦ* Bentl. Pors. Br. recc.

ἓξ χιλιάσιν· κοὔπω πλείους ἐν τῇ χώρᾳ κατένασθεν.
γίγνεται ἡμῖν ἑκατὸν δήπου καὶ πεντήκοντα τάλαντα.
ΦΙ. *οὐδ' ἡ δεκάτη τῶν προσιόντων ἡμῖν ἄρ' ἐγίγνεθ' ὁ μισθός.*
ΒΔ. *μὰ Δί' οὐ μέντοι.* ΦΙ. *καὶ ποῖ τρέπεται δῆτ', εἰπὲ, τὰ χρήματα τἄλλα;*
ΒΔ. *ἐς τούτους τοὺς, " οὐχὶ προδώσω τὸν Ἀθηναίων κολοσυρτὸν, ἀλλὰ μαχοῦμαι περὶ τοῦ πλήθους ἀεί." σὺ γὰρ, ὦ πάτερ, αὐτοὺς*
ἄρχειν αἱρεῖ σαυτοῦ, τούτοις τοῖς ῥηματίοις περιπεφθείς.
κᾆθ' οὗτοι μὲν δωροδοκοῦσιν κατὰ πεντήκοντα τάλαντα
παρὰ τῶν πόλεων, ἐπαπειλοῦντες τοιαυτὶ κἀναφοβοῦντες,
" δώσετε τὸν φόρον, ἢ βροντήσας τὴν πόλιν ὑμῶν ἀνατρέψω·"
σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς σῆς τοὺς ἀργελόφους περιτρώγων.
οἱ δὲ ξύμμαχοι, ὡς ᾔσθηνται τὸν μὲν σύρφακα τὸν ἄλλον

662. *χιλιάσιν* B.R.S.V. *χιλιάσι* C. *κατένασθεν* R.S.V.Γ. Bekk. Dind. &c. *κατένασθε* B.C. vulg. Cf. Pac. 1283. *ἐκόρεσθεν.* Eur. Hipp. 1247. *ἔκρυφθεν.* Aesch. Pers. 1000. *ἔταφεν.* Hom. Il. β'. 668. *ᾤκηθεν.* π'. 348. *ἐνέπλησθεν.* Pind. N. II. 34. *ἔμιχθεν.* X. 8. *κατῴκισθεν.*

663. *ἡμῖν* libri et Ald. *ὑμῖν* Bentl. edd. Kust. Br. conj. Bergk.

664. *ἐγίγνετο μισθὸς* conj. Bergk.

665. *δ' ἤπειτα* S. Ald. *δὴ 'πειτα* B. *δήπειτα* R. *δὴ ἔπειτα* C. *δὴ ̓πειτα* Porson. Br. &c. Fort. *σοι δῆτα*, aut *δῆτ', εἰπὲ,* . . . *τὰ* om S.V. non B.C.R.

665 sq. ΒΔ. *μὰ Δί' . . . ;* ΦΙ. *ἐς τούτους . . .* ΒΔ. *σὺ γὰρ . . .* vulg. Bergk. Richt. ΒΔ. *μὰ Δί' οὐ μέντοι.* ΦΙ. *καὶ ποῖ . . . ;* ΒΔ. *ἐς τούτους . . .* (usque ad v. 679) nescioquis vir doctus H. L. in Diario Class. XXXII. p. 44. Hotib. p. 105. Both. Dobr. Dind. Hirsch. Mein. Omnia uni Bdelycleoni fortasse tribuenda putat Mein.

666. *ἐς* C.R.S.V. Ald. Bekk. Dind. *εἰς* B. Br. *προδώσοντας* S.

667. *ἀεὶ* C.R.S.V.Γ. Dind. &c. *αἰεὶ* B. vulg.

668. *αἱρεῖς αὐτοὺς* S. *περιπεφθεὶς* B.C. *περιπεμφθεὶς* R.S.V. *τοῖς ῥηματίοις περιπεφθείς*] An *τοῖς ῥηματίοισι πεπανθείς* (*mollitus*)? Cf. 646. *τὴν γὰρ ἐμὴν ὀργὴν πεπᾶναι χαλεπὸν μὴ πρὸς ἐμοῦ λέγοντι.*

670. *ἐπαπειλοῦντες* B.C.R.S. *ὑπαπειλοῦντες* V. Fortasse recte. *ἀπὸ* vulg. *παρὰ* Hamaker. Recte, opinor. *κἀναφοβοῦντες*] Qu. *χἄμα φοβοῦντες.*

671. *δώσετε*] *οἴσετε* Mein., imperativum ad sententiam loci multo aptiorem esse quam futurum admonens. Correctio probabilis: proprie enim dicebatur *φέρειν τὸν φόρον.* Cf. 1098. Av. 191. Ipse tentabam *δότε μοι τὸν φόρον*, aut *ἢ δότε τὸν φόρον.* *ἀνατρέψω* B.C. *ἀναστρέψω* R.S.V

672. *ἀργιλόφους* S.

673. *ᾔσθηνται* V. (s. Cob.) *ᾔσθοντο* C.R.S.V. (s. Inv. et Bekk.) Γ. *ᾔσθοντό γε* B. Ald. Br. *ᾔσθηνται* Suid. in h. v. et *λαγαρυζόμενον* et *τραγαλίζοντα.* Bekk. Pors. Praef. Hec. p. l. Reisig. Conj. p. 165. Both. Dind. Mein. &c.

ἐκ κηθαρίου λαγαριζόμενον καὶ τραγαλίζοντα τὸ μηδὲν,
* * * * * *
σὲ μὲν ἡγοῦνται Κόννου ψῆφον, τούτοισι δὲ δωροφοροῦσιν
ὕρχας οἴνου, δάπιδας, τυρὸν, μέλι, σήσαμα, προσκεφάλαια,
φιάλας, χλανίδας, στεφάνους, ὅρμους, ἐκπώματα, πλουθυγίειαν·
σοὶ δ' ὧν ἄρχεις πολλὰ μὲν ἐν γῇ, πολλὰ δ' ἐφ' ὑγρᾷ πιτυλεύσας,
οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἐψητοῖσι δίδωσι.

Cf. 888. τὸν μὲν σύρφακα τὸν ἄλλον] Nulla apodosis est in sequentibus: quare suspicor duos versus excidisse post v. 674, ut accurate numero respondeant vv. 648-718 versibus 546-618. Itaque lacunam indicavi. Prior istorum versuum incipiebat, opinor, vocibus σὲ δὲ aut σὲ δ'. Unde exciderunt ii, propter similitudinem exordii versus 675. σὲ μὲν . . ., quo erraverit oculus librarii transcribentis.

674. λαγαριζόμενον C. Ald. Suid. in ἥσθηνται (codex A. λαγαρυζόμενον reliqui). Mein. λαγαρυζόμενον B.R.S.V. Br. Dind. Veram hujus verbi formam esse λαγαρίζεσθαι recte monuit Meinekius Fr. Com. Gr. II. 313. Hesychius λαγαρίζεσθαι esse ait τὸ πρὸς τὰς λαγόνας τὸν ἀγκῶνα προσάγειν πυκνὰ, διαπείροντα τὴν χεῖρα. Idem, Λαγαριζόμενοι: σκαλεύοντες. Phot. p. 201, 9. Λαγαριζόμενοι: σκαλεύοντες, τὰς λαγόνας τύπτοντες. Hesychius, Λαγαρίττεται: μετριεύεται. Quod Boeoticum videtur.

675. δωροφοροῦσιν B.C.S.V. Bekk. Dind. &c. δωροδοκοῦσιν R. vulg. "δωροδοκοῦσιν scriptura vitiosa, fortasse ex v. 669 repetita, de qua v. quae dixi ad Thes. Steph. in δωροδοκέω." DIND. Suidas, Δωροδοκεῖν: οὐ μόνον δῶρα διδόναι καὶ ἀναπείθειν, ἀλλὰ καὶ τὸ λαμβάνειν.

676. ὕρχας, οἶνον vulg. ὕρχας οἴνου ex Holcasin nostri citat Pollux X. 73, memoriae fortasse lapsu. Idem simpliciter ex Aristophane laudat idem VI. 14. εἰ δὲ καὶ 'Αριστοφάνης ὠνόμασεν ὕρχας οἴνου, δηλοῖ μὲν ἡ λέξις τὸ προσεοικὸς τῷ βίκῳ κεράμιον. Quamobrem id hic reposuerim. Frustra Brunckius diversas res significari statuit, allatis Suidae verbis (ex schol.): ὕρχας, κεράμια ἀγγεῖα ὑποδεκτικὰ ταρίχων, δύο ὠτία ἔχοντα. Sed ὕρχη per se significare non potest ὕρχη ταρίχων. Amphoras autem fictiles, munus vilissimum, per se nemo missurus fuisset. Ceterum ὕρχας an ὗρχας scribendum sit dubitat Lob. Paralip. p. 34. Confer Latinum *urceus*. δάπιδας B.R.S.V. δάπιδα C. τυρὸν C.R.S.V. vulg. πυρὸν B.

677. πλουθυγίειαν B.V. vulg. πλουθ' ὑγίειαν C. πλοῦθ' ὑγίειαν R. πλοῦτον ὑγίειαν S.

678. σὺ δ' C.R.V.Γ. σὺ δὲ S. σὺ δέ γ' B.V. (s. Cobet.) Ald. Br. Inv. Lenting. σοὶ δ' Flor. Chr. Bekk. Dind. Hirsch. Bergk. Mein. Richt. σοὶ δέ γ' ὃς ἄρχεις Bentl. Cf. 684. σοὶ δ' ἢν τις δῷ τοὺς τρεῖς ὀβολούς. De οι in υ corrupto v. ad Th. 392. δ' om. R. ἐφ' ὑγρᾷ] ἐφ' ὑγρᾶς S. Malim ἐν ὑγρᾷ. I. e. ἐν πόντῳ, ut in Soph. Trach. 1011. Correxit, opinor, librarius aliquis, qui de Homerico ἐφ' ὑγρὴν cogitaret. πιτυλλεύσας S.

679. δὲ pro οὐδὲ S. δίδωσιν vulg. Dedi δίδωσι.

ΦΙ. *μὰ Δί' ἀλλὰ παρ' Εὐχαρίδου καὐτὸς τρεῖς ἄγλιθας μετέπεμψα.*
ἀλλ' αὐτήν μοι τὴν δουλείαν οὐκ ἀποφαίνων ἀποκναίεις.
ΒΔ. *οὐ γὰρ μεγάλη δουλεία 'στὶν τούτους μὲν ἅπαντας ἐν ἀρχαῖς*
αὐτούς τ' εἶναι καὶ τοὺς κόλακας τοὺς τούτων μισθοφοροῦντας·
σοὶ δ' ἤν τις δῷ τοὺς τρεῖς ὀβολοὺς, ἀγαπᾶν σ' οἷς αὐτὸς ἐλαύνων
καὶ πεζομαχῶν καὶ πολιορκῶν ἐκτήσω πολλὰ πονήσας;
καὶ πρὸς τούτοις ἐπιταττόμενος φοιτᾷς, ὃ μάλιστά μ' ἀπάγχει,
ὅταν εἰσελθὸν μειράκιόν σοι κατάπυγον, Χαιρέου υἱὸς,

680. *καὐτὸς* B.C.R.V. *καὐτὸ* S. *τρεῖς* B.C. vulg. Both. *τρεῖς γ'* R.S.V.Γ. Reisig. Conj. p. 257. Bekk. Dind. Mein. &c. *ἄγλιθας* B. Dind. Bergk. Mein. *ἀγλῖθας* R.S.V.(?) Elmsl. ad Ach. 759. Bekk. Hirsch. Richt. *ἀγλίθας* C. vulg. *μετέπεμψε* S.

681. *ἀποκναίεις* C.R. *ἀποκλαίεις* B pr. S. *ἀποκλέεις* V.

682. *δουλεία 'στὶν* S. et (ut vid.) R.V. Pors. Bekk. Dind. &c. *δουλεί' ἐστὶν* B. vulg. *δουλεί' ἔστι* C. Cf. ad Ach. 171.

683. *τοὺς τούτων*] *τούτων τοὺς* Hirschig. Ann. Crit. p. 73, qui locum parum intellexit. *τούτων*] Fort. *αὐτῶν*.

684. *σοὶ δ'* B.C.R. *σοῦ δ' ἤν* S.V. *ἤν τις δῷ* R.S. (*δῶ*) V. Junt. 2. Kust. Bergl. Bekk. Dind. &c. *ἤν τις διδῶ* C. *ἤν τις γε διδῷ* B.Δ. Ald. Br. *σὲ δέ γ', ἤν* (vel *σοὶ δ' ἤν*) *τις δῷ τοὺς* Porson. *σοὶ δ' ἤν γε διδῷ τοὺς τρ. ὀβ.* (sc. ille cui id negotii est, ut in Eccl. 841. Vesp. 892. &c.) Lenting., cui nec abesse articulus *τοὺς*; nec in eo, quod quotidie fit, praeteritum adhiberi posse videtur. *σοὶ δ' ἤν τι διδῷ, τοὺς τρεῖς ὀβολοὺς* conj. Reisig. C. p. 174. *Διδῷ* est infra 693. *ἤν τίς τι διδῷ τῶν φευγόντων*. Ach. 159. *τούτοις ἐάν τις δύο δραχμὰς μισθὸν διδῷ*. Nub. 98. *οὗτοι διδάσκουσ', ἀργύριον ἤν τις διδῷ*. Th. 937. *πρὸς τῆς δεξιᾶς, ἥνπερ φιλεῖς | κοίλην προτείνειν, ἀργύριον ἤν τις διδῷ*. Lys. 1119. *ἢν μὴ διδῷ τὴν χεῖρα*. Ach. 835. *πειρῆσθε . . . παίειν ἐφ' ἀλὶ τὰν μᾶδδαν, αἴκα τις διδῷ*. Dem. p. 1209. *ἐὰν μὴ μισθόν τις διδῷ*. Ibid. *ἐὰν μή τις αὐτοῖς ἕτερον ἀργύριον διδῷ*. Plat. Gorg. 520 C. *αἰσχρὸν νενόμισται μὴ φάναι συμβουλεύειν, ἐὰν μή τις αὐτῷ ἀργύριον διδῷ*. Xen. An. I. 4. 12. *οὐκ ἔφασαν ἰέναι, ἐὰν μή τις αὐτοῖς χρήματα διδῷ*. Isocr. p. 168. *οἷς ὁπόταν τις διδῷ πλείω μισθὸν*, &c. Cf. ad Lys. 1058. *ἀποδῷ* (al. *ἀποδιδῷ*). Ipse correxerim *σὲ δ', ἐάν τις δῷ τοὺς τρεῖς ὀβολοὺς, ἀγαπᾶν οἷς* &c. Cf. 583. *κἤν . . . τῳ δῷ* &c. *τοὺς* add. C.R.S.V. Ald. om. B.Δ. Br. Articulum omitti posse ostendit locus in Ach. 159. *τούτοις ἐάν τις δύο δραχμὰς μισθὸν διδῷ*, &c. *ἀγαπᾷς* B.C.R.V. *ἀγαπᾶσθαι* S. *ἀγαπᾶν* Porson. Dedi *ἀγαπᾶν σ'*. *οἷς* R. Bekk. Dind. olim. Bergk. Mein. *οὓς* B.C.S.V. vulg. Hirsch. Richt. Dind. Cf. ad Ach. 677. "Dativus propter *ἀγαπᾷς* positus." (Dind.) Vulgo post *ἀγαπᾷς* colon aut virgula ponitur.

686. *φοιτᾶν* S.

687. *εἰσελθὸν . . . κατάπυγον*] Reponendum forsan *εἰσελθὼν . . . καταπύγων*, masculina ut mox *διαβὰς, διακινηθεὶς, τρυφερανθείς*. Scilicet dicebant

ὡδὶ διαβὰς, διακινηθεὶς τῷ σώματι καὶ τρυφερανθεὶς,
ἥκειν εἴπῃ πρῴ κἂν ὥρᾳ δικάσονθ', ὡς ὅστις ἂν ὑμῶν
ὕστερος ἔλθῃ τοῦ σημείου τὸ τριώβολον οὐ κομιεῖται.
αὐτὸς δὲ φέρει τὸ συνηγορικὸν δραχμὴν, κἢν ὕστερος
ἔλθῃ·

ὢν μειράκιον, sed μειράκιον ὂν per attractionem. Sic Pl. 88. ἐγὼ γὰρ ὢν μειράκιον . . . Nub. 990. ὦ μειράκιον, θαρρῶν ἐμὲ . . . αἱροῦ. 917. φοιτᾶν οὐδεὶς ἐθέλει τῶν μειρακίων. Supra 610. γύναιόν μ' ὑποθωπεῦσαν. Av. 607. ἢ παιδάρι' ὄντ' ἀποθνήσκειν δεῖ; Plat. Eryx. 397. καὶ δῆτα καὶ μειράκιόν τι σφόδρα νέον προσελθὸν καὶ στωμύλον προσκαθιζόμενον κατεγέλα &c. Aeschin. I. 75. ὅταν μειράκιον νέον καταλιπὸν τὴν πατρῴαν οἰκίαν &c. Lysias III. 35. τὸ γὰρ μειράκιον, ὡς ἔγνω, ῥίψαν θοἰμάτιον φεῦγον (al. φεύγων) ᾤχετο. Aliter tamen, si quidem sincera est lectio, Plat. Lach. 180. τὰ γὰρ μειράκια τάδε πρὸς ἀλλήλους οἴκοι διαλεγόμενοι θαμὰ ἐπιμέμνηνται Σωκράτους καὶ σφόδρα ἐπαινοῦσιν. Plutarch. Per. 36. τὸ δὲ μειράκιον ὁ Ξάνθιππος ἐπὶ τούτῳ χαλεπῶς διατεθεὶς &c. Cf. ad Nub. 878. Consociantur autem diversa genera, ut in Ach. 872. ὦ χαῖρε κολλικοφάγε Βοιωτίδιον. Nub. 917. οὐδεὶς ἐθέλει τῶν μειρακίων. Plat. com. II. εἴξασιν γὰρ τοῖς παιδαρίοις τούτοις, οἳ ἑκάστοτε γραμμὴν | ἐν ταῖσιν ὁδοῖς διαγράψαντες &c. Eur. Tro. 735. ὦ φίλτατ', ὦ περισσὰ τιμηθεὶς τέκνον. Bacch. 1305. Soph. Oed. T. 1167. μειράκιόν σοι] σοι μειράκιον malit Elmsl. in Ed. Rev. a. 1811. Cf. ad Eccl. 516. κατάπυγον R. (diserte) S.V. Ald. Br. Bekk. Dind. &c. καταπῦγον B.C. Bergk. Cf. ad Thesm. 200. Sic εὔδαιμον, non εὐδαῖμον.

688. Fort. διαβὰν, διακινηθὲν . . . τρυφερανθέν. τρυφερανθεὶς B. (s. ω) C.R.S.V. τρυφερωθεὶς Γ. Vox mihi nonnihil suspecta. Qu. τρυφῇ ἐνδοὺς, vel διαθρυφθείς.

689. πρωῒ B.C.V. κἂν V.

691. δραχμὴν libri et vulg. Hirsch. Mein. Dind. δαρχμὴν Bergk. Richt. κἂν πάντων ὕστατος (del. δραχμὴν) Cobet. "δαρχμὰς pro δραχμὰς dictum annotavit Hesychius. Quam formam Th. Bergkius recte restituere videtur comicorum locis in quibus δραχμὴ producta contra legem syllaba prima legitur. Sunt autem praeter nostrum locum hi, Aristophanis Pac. 1201. νυνὶ δὲ πεντήκοντα δραχμῶν ἐμπολῶ, Plut. 1019. ὁπότε προτείνοιέν γε δραχμὰς εἴκοσι, Philippidis ap. Athen. 6. p. 230 B. ἄγοντι πεντήκοντα δραχμὰς, Antiphanis ib. 7. p. 297 E. τούτων δὲ δραχμὰς τοὐλάχιστον δώδεκα, Platonis 10. p. 442 A. Λόρδωνι δραχμὴ, Κυβδάσῳ τριώβολον, Machonis 13. p. 581 B. καὶ τὰ δόρατ' ἀποβλέψασα δραχμὰς χιλίας. . . . Quanquam huic poetae etiam δραχμὰς a producto dicere licuit. Aliam viam iniit Gaisfordus, quem scripturam a Thoma Mag. rejectam δραγμὴ hujusmodi locis inferendam esse censere ex annotatione ad Suidam vol. I. p. 1058. colligimus. *Drachumam* producta syllaba prima dixit Plautus: quo argumento cavendum est ne quis abutatur ut Graecum vocabulum ancipitem literae α mensuram habuisse contendat. Nam similiter Acheruntis nomen dipodiae trochaicae mensuram habet apud poetas veteres Latinos contra morem Graecorum, et quae sunt alia hujusmodi. Ceterum cum δαρχμὴ comparari potest φαργνύναι ejusque derivata, velut ναύφαρκτος, quod veteres Attici pro φραγνύναι dixerunt." DIND. Prioris

καὶ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ τῶν μεθ' ἑαυτοῦ,
ἥν τίς τι διδῷ τῶν φευγόντων, ξυνθέντε τὸ πρᾶγμα δῦ' ὄντε
ἐσπουδάκατον, κᾆθ' ὡς πρίονθ' ὁ μὲν ἕλκει, ὁ δ' ἀντενέδωκε·

syllabae in *δραχμὴν* productionem bene defendit Elmsleius ad Med. 140. In anapaestis certe nihil offensionis habet istius syllabae productio. *κᾂν* vulg. Dedi *κἤν*.

692. *κοινωνῶν* B.C.R.V. *κοινῶν ὄντων* Γ. *κοινωνὸς* S.

693. *τι* add. B.R. om. C.S.V.Γ. Cf. ad 684. *δῦ' ὄντε*] *δ' ἥν τε* S.

694. *κᾄθ' ὡς* B. (sup. in ras.) C.S.V.Δ. *κᾂθ' ὡς* Γ. *καθῶς* R. *κᾆθ' ὡς* vulg. Dobr. Dind. Cobet. &c. *χὤσπερ* Reisig. Conj. p. 313, *ὡς* pro *ὥσπερ* negans Atticos usurpasse. Accurate, ut solet, Elmsleius in Ed. Rev. a. 1811: "The comic poets almost always use *ὥσπερ*, not *ὡς*, to express the sense of the English words, *as it were*." Cf. Eq. 755. *κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας.* Eccl. 310. *ὥσπερ πηλοφοροῦντες.* Lys. 337. *ὥσπερ βαλανεύσοντας.* Vesp. 804. *ὥσπερ ἑκάτειον.* Pac. 482. *σαρκάζοντες ὥσπερ κυνίδια.* 641. *τοῦτον ὥσπερ κυνίδι' ἐσπαράττετε.* Av. 402. *ὥσπερ ὁπλίτης.* 1150. *ὥσπερ παιδία.* Lys. 474. *ὥσπερ κόρη καθῆσθαι.* 558. *περιέρχονται . . . ὥσπερ Κορύβαντες.* 1083. *ὥσπερ παλαιστάς.* Eccl. 928. *παράκυφθ' ὥσπερ* (al. *ὡς*) *γαλῆ.* Plat. Symp. 191. *ἐγέννων καὶ ἔτικτον οὐκ εἰς ἀλλήλους ἀλλ' εἰς γῆν, ὥσπερ οἱ τέττιγες.* Sed Fr. 190. *ἑταίρας . . . ἁλμάδας ὡς ἐλάας στιφράς.* ·Fr. 237. *ᾠὸν μέγιστον τέτοκεν, ὡς ἀλεκτρυών.* Soph. Aj. 998. *ὀξεῖα γάρ σου βάξις, ὡς θεοῦ τινος* &c. Aesch. Pers. 698. *βίοτον εὐαίωνα . . . ὡς θεὸς διήγαγες.* Verum fortasse, quod et ipse conjeceram, *χὤσπερ πρίονθ'*. Locum corrupit, opinor, grammaticus aliquis, qui de *πριόνα* cogitaret. Exciderat, opinor, *περ* ante simile *πρ*. Primam vero in *πρίω* (Ran. 927. *μὴ πρῖε τοὺς ὀδόντας*) et in *πρίων serra* produci tenendum est (Soph. Tr. 699). Nec displiceret *κᾆθ' ὡς πρίονθ'*, modo constaret *ὡς* pro *ὥσπερ* hoc sensu poni posse. Pro participio, ut videtur, accipit scholiasta, qui interpretetur, *κᾆθ' ὡς πρίονα: ὡς οἱ πρίζοντες διαφιλονεικοῦσι τίς πρὸς ἑαυτὸν ἑλκύσει.* Quod si verum est *πρίων* aut *πριὼν* de serratore dixisse Atticos, scripserat fortasse Comicus *κᾆθ' ὡς πρίων'* (*πριῶν'*), aut *χὤσπερ πρίων'* (*πριῶν'*). Si vero constaret *πρίωνα* pro *πρίονα* de serra usurpatum esse, in nostro loco fortasse reponendum foret *κᾆθ' ὡς* (vel *χὤσπερ*) *πρίων'*. Tentabam praeterea *καὶ πρίον' ὅπως tanquam serram.* Cf. ad Thesm. 1106. *παρθένον . . . ναῦν ὅπως ὡρμισμένην.* Sed tragicus hic usus est. De voce *πρίων serra* cf. Soph. Trach. 699. *ὥστε πρίονος | ἐκβρώματ' ἂν βλέψειας ἐν ξύλου τομῇ.* Soph. Fr. 787. *οὐδὲ πρίονος πληγαί.* Poll. 7, 113. Produci autem primam in *πρίειν* ejusque derivatis constat vel ex Ran. 927. *μὴ πρῖε τοὺς ὀδόντας.* De hoc loco v. Lobeck. Paral. Gr. p. 554. Meinek. Fr. Com. II. 205. *πρίον'* R.S.V.(?) Ald. Bekk. Conz. *πρίων* B. (add. apostropha) C.Δ. Bentl. Br. Richt. *πρίονες* V. (s. Cob.) Γ. Bergk. *πρίων'* (i. e. *duo serratores*) Dind. olim. *πρίονθ'* (*a pair of sawyers*) vir doctus nescioquis H.L. in Class. Journ. XXXII. 40. Dobr. Reisig. Conj. p. 313. Bo. Hirsch. Mein. Cobet. Dind. *πρίων* qui legunt (Bentl. Br. &c.) pro participio habent. "Restitui, *πρίωνε*, de quo vocabulo Photii testimonio constat p. 448, 19. *Πριων: ὀξυτόνως τὸ ἄρμενον· πρίων δὲ, ὡς παίων, ὁ τέμνων τῷ ἀρμένῳ τούτῳ. τὸ δὲ πληθυντικὸν πρίονες διὰ τοῦ ο Κρατῖνος.* Ex his apparet Cratinum *πρίονας* dixisse qui vulgo *πρίωνες* dicebantur: quod haud dubie metri causa fecit." DIND. Aut

σὺ δὲ χάσκεις πρὸς τὸν κωλαγρέτην, τὸ δὲ πραττόμενόν σε λέληθε.

ΦΙ. ταυτί με ποιοῦσ'; οἴμοι, τί λέγεις; ὥς μου τὸν θῖνα ταράττεις,
καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον, κοὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖς.

ΒΔ. σκέψαι τοίνυν ὡς, ἐξόν σοι πλουτεῖν καὶ τοῖσιν ἅπασιν,
ὑπὸ τῶν ἀεὶ δημιζόντων οὐκ οἶδ' ὅποι ἐγκεκύκλησαι,
ὅστις πόλεων ἄρχων πλείστων ἀπὸ τοῦ Πόντου μέχρι Σαρδοῦς
οὐκ ἀπολαύεις πλὴν τοῦθ' ὃ φέρεις, ἀκαρῆ· καὶ τοῦτ' ἐρίῳ σοι

fallitur grammaticus, aut vitio laborat ejus glossa, quum πρίων serra constanti usu atque ex disertis grammaticorum praeceptis παροξυτόνως scribatur, ut vere monuit Meinek. Fr. Com. II. 205. Ceterum non omnino satisfacit correctio κᾆθ' ὡς πρίονθ', quum constanter, ni fallor, ὥσπερ hoc sensu, non ὡς, nomini aut participio praeponere soleant Attici. ἀντανέδωκε C.R.S,V. vulg. ἀντανέδωκεν B. ἀντενέδωκεν Dobr. Mein. Richt. conj. Bekk. ἀντενέδωκε Dind. Bergk.

695. σὺ δὲ χασκάζεις τὸν κωλαγρέτην vulg. Reponendum suspicor σὺ δὲ χάσκεις πρὸς τὸν ... (Cf. Eq. 1118. πρὸς τόν τε λέγοντ' ἀεὶ κέχηνας. 1032. ὅταν σύ ποι ἄλλοσε χάσκῃς. Nub. 996. πρὸς ταῦτα κεχηνώς. Anacreon Fr. 13. πρὸς δ' ἄλλον τινὰ χάσκει. Lucian. III. 216. ἐκεχήνεις πρὸς αὐτά.) Vel σὺ δὲ χάσκεις ὡς τὸν ... Χάσκειν legitur 1493. Eq. 1032. ἀναχάσκειν Av. 502. ἐγχάσκειν infra 721. nusquam alibi χασκάζειν. κωλαγρέτην R. Dind. &c. κωλακρέτην B.C.S.V. vulg. Cf. ad 724. Similia composita sunt ἱππαγρέτης, officii apud Lacedaemonios nomen (Xen. Lac. IV. 3), μαζαγρέτης (ap. Aristiam Athen. 686 A.), et παιδαγρέτης. Nomen proprium Ἱππαγρέτης Thuc. IV. 38. V. Ruhnk. ad Tim. v. ἱππαγρέται. σε λεληθε C.R.V. vulg. σε λεληθεν B. Dind. Mein. Richt. εἰσελήλυθεν S.

696. ὡς τὸν θινά μου B pr.

697. προάγεις S.

698. τοίνυν libri et Br. &c. τοίνυν γ' Ald. καὶ τοῖσιν ἅπασιν libri et vulg. καὶ τοισίδ' ἅπασιν Herm. κἀστοῖσιν ἅπασιν Mein. in Philol. XIV. 17. ἴσα τοῖσιν ἄπαισιν lepide Reisk. ἀγαθοῖσιν ἅπασιν conj. Bentl. Bergk. Vera scriptura, ni fallor, est καὶ τοῖσι πένησιν. Cf. 464. 703.

699. ἀεὶ C.R.S.V.Γ. Dind. &c. αἰεὶ B. vulg. ὅποι B.C.R.S.V. vulg. ὅπη Suidas in ἀκαρές. Dind. Mein. Bergk. Richt. ὅπως Suidas in ἐγκεκύκλησαι. ἐγκεκύκλησαι B.C.R.V. vulg. ἐγκεκύλησαι S. Qu. ἐγκεκύλισαι. Vel ἐσκεκύλισαι (Th. 651. εἰς οἷ' ἐμαυτὸν εἰσεκύλισα πράγματα. 767. κᾆμ' ἐσκυλίσας ἐς τοιαυτὶ πράγματα). Vel εἰσκεκύκλησαι (Th. 265). Vel denique ἐκκεκύκλησαι (Ach. 408). Cf. ad 1475. νὴ τὸν Διόνυσον ἄπορά γ' ἡμῖν πράγματα | δαίμων τις ἐσκεκύκληκεν ἐς τὴν οἰκίαν.

701. ἀκαρῆ B.C.S.V. ἀκαρῆι R. ἀκαρὲς Suid. s. h. v. Br. Mein. Subaudiendum τρίχα.

ἐνστάζουσιν κατὰ μικρὸν ἀεὶ τοῦ ζῆν ἕνεχ' ὥσπερ ἔλαιον.
βούλονται γάρ σε πένητ' εἶναι· καὶ τοῦθ' ὧν εἵνεκ' ἐρῶ σοι,
ἵνα γιγνώσκῃς τὸν τιθασευτήν, κᾆθ', ὅταν οὗτός σ' ἐπισίξῃ
ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιρρύξας, ἀγρίως αὐτοῖς ἐπιπηδᾷς.
εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.
εἰσίν γε πόλεις χίλιαι, αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσι.
τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταξεν ἑκάστῃ,
δύο μυριάδ' ἂν τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λαγῴοις

702. ἐνστάζουσιν R.S. ἐνστάζουσι B.C.V. ἕνεκ' V. ἔλαιον S.V. schol. Suid. in ἀκαρές. Bentl. Kust. Bekk. Hirsch. Dind. Mein. ἄλευρον B.C.R. Ald. Br. Richt.

703. τούτων B.C.R.S.V. τοῦτ' ὧν R. (s. Inv.) τοῦθ' ὧν Bentl. Tyrwhitt. Br. &c. εἵνεκ' B.C.R.S.V.Γ.Δ. Bergk. ἕνεκ' Ald. οὕνεκ' male Br. Dind. Hirsch. Mein. Richt. "ΦΙ. καὶ τοῦθ' ὧν εἵνεκα δρῶσιν; ΒΔ. ἵνα γιγνώσκῃς" Bentl., oblitus ὧν pro τίνων poni non posse. Cf. Pac. 744. καὶ τούτους εἵνεκα τουδί, | ἵν' . . . ἐρῶ σοι B.R.S.V.Γ.Δ. ἔρρωσο C. Ald.

704. γιγνώσκῃς R.S.V. γινώσκῃς B.C. τιθασευτὴν B. Ald. τιθασσευτὴν C.R.S.V.Γ. Scripturam τιθασσεύειν τιθασσὸς metrum ubique respuit. "Imperita est annotatio scholiastae τιθασευτὴν simplici σ metri causa dictum esse. Cui fraudem fecit frequentissimus error librariorum, τιθασσὸς ejusque derivata duplici σ scribentium, quo Graeci in hoc vocabulo non magis usi sunt quam in μασσᾶσθαι, quod ipsum quoque ubique inferre solent librarii." DIND. οὗτός γ' C.R.S.V. vulg. οὗτος B. οὕτως Δ. Legendum οὗτός σ'. Idem proponit Mein. ἐπισίξῃ S.V. Bergk. Mein. Cobet. (in Mnem.) Dind. ἐπισίζῃ B.C.R. vulg. Saepe confunduntur ξ et ζ. Cf. ad Lys. 93. Pac. 756. Post ἐπισίξῃ virgula tollenda. ἐπισίξῃ ἐπὶ τῶν ἐχθρῶν τιν', ἐπιρρύξας ἀγρίως . . . Bergk.

705. τῶν ἐχθρῶν B.C.R.S.V. Kust. τὸν ἐχθρὸν Ald. ἐπιρρύξας B.C.V. ἐπιρύξας R. ἐπιρρήξας S. Virgulam ante, non post, ἐπιρρύξας ponit Bergk. ἀγρίως B.C.R. ἄγριος S.V.

707. εἰσίν γε πόλεις vulg. Malim εἰσὶ πόλεις γάρ. ἀπάγουσιν vulg. Qu. προσάγουσι vel κατάγουσι. Sed cf. Ach. 643. ἐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντες.

708. εἴ τις om. S. προσέταξεν libri et vulg. Dind. προσέταττεν Dawes. M. C. p. 271. Hirsch. Mein. prob. Richt. ("quum de tempore praesenti agatur"). Cf. 824. εἰ θᾶττον ἐκαθίζου σύ, θᾶττον ἂν δίκην | ἐκάλουν. Herod. III. 25. εἰ μέν νυν μαθὼν ταῦτα ὁ Καμβύσης ἐγνωσιμάχεε καὶ ἀπῆγε ὀπίσω τὸν στρατὸν . . . ἦν ἂν σοφὸς ἀνήρ.

709. δύο μυριάδες vulg. Bergk. Richt. δύο μυριάδ' ἂν Dobr. Dind. Mein. Recte. Qu. δύο μυριάδες . . . ζῷεν ἂν ἐν (ἂν pro vulg. ἐν habent B.Δ.) π. λ. Sed vereor ut haec constructio toleranda sit post προσέταξεν. Cf. 824. Vulgatam frustra tuetur Vauv. ad Soph. Aj. 183. ἔζων om. R. ἐν C.R.S.V. Suid. Dind. Mein. Bergk. Richt. ἂν B.Δ. Dawes. M. C. p. 275. (coll. Eur. Cycl. 121. σπείρουσι δ', ἢ τῷ ζῶσι, Δήμητρος στάχυν; | ΣΕ. γάλακτι καὶ τυροῖσι καὶ μήλων βορᾷ). Br. Hirsch. Sed praepositio ἐν in hac locutione omitti nequit. πᾶσι B.R.S.V. ἅπασι C.

καὶ στεφάνοισιν παντοδαποῖσιν καὶ πυῷ καὶ πυριάτῃ,
ἄξια τῆς γῆς ἀπολαύοντες καὶ τοῦ Μαραθῶνι τροπαίου.
νῦν δ' ὥσπερ ἐλαολόγοι χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι,
ΦΙ. οἴμοι, τί πέπονθ'; ὡς νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται,
καὶτὸ ξίφος οὐ δύναμαι κατέχειν, ἀλλ' ἤδη μαλθακός εἰμι.
ΒΔ. ἀλλ', ὁπόταν μὲν δείσωσ' αὐτοὶ, τὴν Εὔβοιαν διδόασιν

710. πύῳ (πύω B.C.) B.C.R.S.V. πυρῷ (πύω V.) Suid. in πυρίνῳ ἄρτῳ. πυῷ Dind. Bergk. Mein. &c., secundum Herodiani praeceptum, de quo v. ad Pac. 1150. et Mein. Fr. Com. II. 95. V. 18, qui πῦον neutrum, πυὸς masculinum scribendum esse ex Arcadio et Herodiano contendit. Cf. Poll. VI. 54. πυριάτῃ B.R.S.V.Γ.Δ. Suid. Br. Pors. Dobr. Bekk. Dind. &c. πυαρίτῃ C. Ald. Eust. p. 1626, 3. Cf. Mein. Fr. Com. III. 342.

711. τοῦ 'ν R.V.(?) Suid. Ald. τοὺν B.C.S. τοῦ Bentl. Elmsl. ad Ach. 343. Cobet. V. L. p. 201. Dind. Mein. Bergk. Richt. Vulgatam tuetur Fritzch. ad Th. 806. Similis fere versus est Eq. 1334. τῆς γὰρ πόλεως ἄξια πράττεις καὶ τοῦ (τοῦ 'ν et hic libri) Μαραθῶνι τροπαίου. Cf. Eupol. ap. Longin. XVI. 3. οὐ γὰρ μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην, &c. Plat. Menex. 245. τὰ τροπαῖα τά τε Μαραθῶνι καὶ Σαλαμῖνι καὶ Πλαταιαῖς. Dem. p. 297. Sed praepositio omitti non potest in Fragm. 363. καὶ κολλύραν τοῖσι περῶσιν (l. γέρουσιν) διὰ τοὺν Μαραθῶνι τροπαῖον. Utraque scriptura proba est. V. Gottleber. ad Platon. Menex. c. 10. Cf. ad Ach. 696. τρόπαιον V.

712. ἐλαολόγοι S.V. Suid. h. v. Bentl. Pors. Bekk. Dind. &c. ἐλαιολόγοι B.C.R. vulg.

713. οἴμοι, τί ποθ' ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται libri et vulg. Bergk. Richt. πέπονθ' pro ποθ' Suid. in νάρκη. Unde οἴμοι, τί πέπονθ'; ὡς νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται Kust. ad Suid. prob. Bentl. Pors. Richt. οἴμοι, τί πέπονθ'; ὥσπερ νάρκη μου τῆς χειρὸς καταχεῖται ed. Mein. . . . μου κατὰ χειρὸς καταχεῖται Bo. conj. Mein. οἴμοι, τί πέπονθ'; ὥσπερ νάρκη κατὰ χειρός μου καταχεῖται hodie Dind. Verum certe videtur πέπονθ' pro vulgato ποθ'. Cf. 995. πάτερ, πάτερ, τί πέπονθας; Eq. 888. Corrigendum forsan οἴμοι, τί πέπονθ'; ὥσπερ νάρκη κατὰ τῆς χειρὸς καταχεῖται (ejecto μου ut ex interpolatione invecto). Sed praestat, opinor, Kusteri emendatio, quum pronomen requiri videatur. Fortasse περ in ὥσπερ nihil aliud est quam πε ν supra ποθ' ex correctione scriptum male intellectum atque in alienum locum transvectum. Articulo certe ante χειρὸς opus est: conferri enim non debet locutio compendiosa ὕδωρ κατὰ χειρός. Similiter fere supra v. 7. ἐπεὶ καὐτοῦ γ' ἐμοῦ | κατὰ τοῖν κόραιν ἤδη τι καταχεῖται γλυκύ. Quod si revera sincerum est ποθ', conferre licebit 973. αἰβοῖ, | τουτὶ τὸ κακὸν τί ποτ' ἔσθ' ὅτῳ μαλάττομαι; Sic enim corrigendus videtur iste locus. Vulgo in fine versus interrogatur.

714. οὐ δύναμαι κατέχειν vulg. Qu. οὐ δύναμαί γ' ἔτ' ἔχειν.

715. ἀλλ' ὁπόταν] ἀλλ' ὁπότ' ἂν malit Elmsl. in Ed. Rev. an. 1811. δείσωσ' αὐτοί] Qu. δείσωσ', εὐθὺς . . . Vel ἀλλ' ὁπόταν καταδείσωσ' (Pac. 759) . . . Vel ἀλλ' ὁπόταν δείσωσ' ἀμφ' αὐτοῖς (Soph. Oed. C. 492. ἄλλως δὲ δειμαίνοιμ' ἂν ἀμφί σοι). Certe perquam incommoda hic est particula μέν. Lentingio αὐτοὶ cum διδόασιν fortasse connectendum videtur. Cf. Eccl. 670. ἢν δ' ἀποδύῃ γ', αὐτὸς δώσει.

ὑμῖν καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους
ποριεῖν· ἔδοσαν δ' οὐπώποτέ σοι πλὴν πρώην πέντε μεδίμνους,
καὶ ταῦτα μόλις ξενίας φεύγων ἔλαβες κατὰ χοίνικα κριθῶν.
ὧν εἵνεκ' ἐγώ σ' ἀπέκλῃον ἀεί,
βόσκειν ἐθέλων καὶ μὴ τούτους
ἐγχάσκειν σοι στομφάζοντας.
καὶ νῦν ἀτεχνῶς ἐθέλω παρέχειν
ὅ τι βούλει σοι
πλὴν κωλαγρέτου γάλα πίνειν.

ΧΟ. *ἦ που σοφὸς ἦν ὅστις ἔφασκεν, "πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς,*
οὐκ ἂν δικάσαις." σὺ γὰρ οὖν νῦν μοι νικᾶν πολλῷ δεδόκησαι·

718. *ἔλαβες* Ald. *ἔλαβε* C.R.S.V.Γ. *ἔλαβεν* B.Δ. *κατὰ χοίνικα, κριθῶν* vulg. Bergk. Mein. Richt. *κατὰ χοίνικα κριθῶν* Dind. *κατὰ χοίνικα, κριθὰς* Dobr. "*κριθῶν*, quod post *μεδίμνους* poni debebat, alteri sententiae parti adjunxit. Itaque commate post *χοίνικα* nihil opus est." (Dind.) Recte, opinor. Scilicet ad *κριθῶν* repetendum *μεδίμνους* ex praecedentibus. Dobraeus etiam ista (*καὶ ταῦτα . . . φεύγων*) parenthetice disposuerit, ut constructio sit *πλὴν πρώην πέντε μεδίμνους ἔλαβες* &c., haud dubie propter neutrum *καὶ ταῦτα*. Non male scriberetur *ἔλαβες . . . κατὰ χοίνικα . . . κριθῶν*. *καὶ ταῦτα* vulg. An *καὶ τούσδε* aut *τούτους δὲ* (sc. *μεδίμνους*)? Usitatius tamen foret hoc sensu *καὶ τούτους*. Cf. Pac. 744. *οὓς ἐξῆγον κλάοντας ἀεί, καὶ τούτους εἵνεκα τουδὶ* &c.

719. *εἵνεκ'* B.C.R.S.V. Ald. Both. Bergk. *οὕνεκ'* male Br. Dind. &c. *ἀπέκλειον* vulg. *ἀπέκλῃον* Mein. Dind.

723. *ὅ τι βούλει σοι, πλὴν*] *ὅ τι βούλει, πλὴν τοῦ* conj. Mein. Cf. 695.

724. *πλὴν* B.C. Ald. *πλὴν τοῦ* R.S.V.Γ. *κωλακρέτου* B.C.R pr. S.V. *κωλαγρέτου* R corr. Dind. &c. Cf. ad 695. Av. 1541. *γάλα*] *μάλα* S.V.

725. *ἦ που σοφὸς ἦν*] *ἦ σοφός, ἦ σοφός*, conj. Elmsl. ad Med. 1275, coll. Aesch. Prom. 887. (Parum enim hic convenire particulam *ἦπου*, i. q. *ἴσως*, *I suppose, I daresay;* neque significare posse *ἦπου* *profecto*, *ὄντως*.) *εἴ τις σοφὸς ἦν* Burges. ad Eumen. 417. Facilis correctio foret *ἦ πάνσοφος ἦν*. Ita Aesch. Pers. 843. *ἦ πολλὰ* &c. 852. *ἦ μεγάλας . . . βιοτᾶς ἐπεκύρσαμεν*. Aesch. Fr. 276. *ἦ βαρὺ φόρημ' ἅνθρωπος εὐτυχῶν ἄφρων*. *Πάνσοφος* legitur Aesch. Suppl. 319. Eur. Herc. 188. Soph. Fr. 784. &c. Sic apud nostrum *παμπόνηρος, πάγχρηστος, παγκατάρατος, πάγκαλος, παμβδέλυρος, παμμύσαρος, παγγλύκερος*. Confer tamen similem locum Ran. 814. *ἦ που δεινὸν ἐριβρεμέτης χόλον ἔνδοθεν ἕξει*. *ἔφασκεν* R.S.V. *ἔφασκε* B.C. *ἀκούσας* V.

726. *οὐκ ἂν δικάσαις* vulg. *οὐ μὴ δικάσεις* Mein. Non enim prohibentis esse *οὐκ ἂν δικάσαις*. Nempe ea verba significant *judicare non potes*. Adde quod optativi formam in *-αις* non novit antiqua Atthis (v. ad 572). Addendum porro fuisset *ὀρθῶς* aut aliquid simile. Melius corriges scribendo *οὐ δεῖν* (aut *μὴ δεῖν*) *δικάσαι*, vel *μηδὲν δικάσῃς*. Cf. versum ap. schol: *μηδὲ δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς*.

ὥστ' ἤδη τῆς ὀργῆς χαλάσας τοὺς σκίπωνας καταβάλλω.
ἀλλ', ὦ τῆς ἡλικίας ἡμῖν τῆς αὐτῆς συνθιασῶτα,
πιθοῦ πιθοῦ λόγοισι μηδ' ἄφρων γένῃ στρ.
μηδ' ἀτενὴς ἄγαν ἀτεράμων τ' ἀνήρ.
εἴθ' ὤφελέν μοι κηδεμὼν ἢ ξυγγενὴς
εἶναί τις ὅστις τοιαῦτ' ἐνουθέτει.
σοὶ δὲ νῦν τις θεῶν παρὼν ἐμφανῶς
ξυλλαμβάνει τοῦ πράγματος, καὶ δῆλός ἐστί σ' εὖ ποιῶν·
σὺ δὲ παρὸν δέχου.

ΒΔ. καὶ μὴν θρέψω γ' αὐτὸν παρέχων
ὅσα πρεσβύτῃ ξύμφορα, χόνδρον
λείχειν, χλαῖναν μαλακήν, σισύραν,
πόρνην, ἥτις τὸ πέος τρίψει

727. τὴν ὀργὴν χαλάσας vulg. Malim τῆς ὀργῆς χαλάσας. Cf. Av. 383. τῆς ὀργῆς χαλῶν. Ran. 700. τῆς ὀργῆς ἀνέντες. Subaudiri potest κόλλοπα. ὀργὴν C.R.S.V. ὀργῇ B pr. Qu. ὀργῆς. σκίπωνας B corr. C.V. Br. &c. σκιπίωνας R. σκίμπωνας B pr. Ald. σκήπωνας S.Γ. et Suid. in σκήπων. Cf. ad Eur. Hec. 65. et Latinum *scipio*, cujus prima syllaba longa est. καταβάλλω B.C.R.S. καταβάλω V.Γ.

728. συνθιασῶτα B.C.R.V. συνθιασῶτα S.

730. ἀτενής γ' Ald. γ' om. libri. ἀγενὴς R. ἀτεράμμων unus R.

731. ὤφελεν B corr. R.V. Pors. Br. ὤφελε B pr. C.S. Ald.

732. ὅστις C.R.S.V.Γ. Reisig. Conj. p. 123. Bekk. Dind. &c. ὅστις δὴ B. vulg. Metrum est, ⏕ ⏒́ ⏑ — — | ⏑ — ⏑ — ⏑ —. Cf. ad 746. ὅστις τοιαῦτ' ἐνουθέτει] I. e. *Qui me talia monuisset.* Anglice, *to have advised me thus.* Noli corrigendum putare ὅστις τοιαῦτα νουθετοῖ, quod valeret *qui me talia moneret*, Anglice *to advise me thus*, ut in Soph. Trach. 953. εἴθ' . . . γένοιτο αὔρα . . . ἥ τις μ' ἀποικίσειεν ἐκ τόπων, ὅπως . . . θάνοιμι.

733. τις θεῶν libri. Bekk. Dind. &c. τις τῶν θεῶν Ald. ἐμφανὴς vulg. Malim ἐμφανῶς. Cf. ad Ach. 143.

735. ἐστιν εὖ S.V. Reisig. Conj. p. 124. Bekk. Dind. ἐστιν om. B.C.R. vulg. ἐστίν σ' εὖ Reisk. Praestat ἐστί σ' εὖ.

736. σὺ δὲ libri. Bekk. Dind. &c. σὺ δ' αὖ Ald. Br. παρὼν vulg. Immo legendum, ni fallor, παρόν, quod suadet etiam Seager. παρὼν e v. 733 huc illatum videtur. Cf. Soph. Phil. 1099. παρὸν φρονῆσαι. Eur. Ant. Fr. 13. παρὸν ζῆν ἡδέως ἀπράγμονα. Iph. T. 1088. Alc. 284. Suppl. 315. Phoen. 520. Her. 177. 506. Thuc. IV. 19. V. 103. Dem. p. 499. p. 606. p. 670. p. 1435. Lys. XIX. 15. Andoc. II. 11. Sic ἐξὸν supra 698. παρέχον Herod. 5, 49. μετὸν, &c. Nisi praestat πρόφρων (Av. 930).

καὶ τοὺς ἰδιώτας.
ΔΙ. ἄγε δὴ τίνα τρόπον τὴν θύραν κόψω, τίνα;
πῶς ἐνθάδ' ἄρα κόπτουσιν οὑπιχώριοι;
ΞΑ. οὐ μὴ διατρίψεις, ἀλλὰ γεύσει τῆς θύρας,
καθ' Ἡρακλέα τὸ σχῆμα καὶ τὸ λῆμ' ἔχων;
Δ. παῖ παῖ.

ΑΙΑΚΟΣ.

τίς οὗτος; ΔΙ. Ἡρακλῆς ὁ καρτερός.
ΑΙ. ὦ βδελυρὲ καὶ τολμηρὲ κἀναίσχυντε σὺ
καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε,
ὃς τὸν κύν' ἡμῶν ἐξελάσας τὸν Κέρβερον

πολυρόδους Φ pr. m. Med. 4. πολυρρόθους Bodl. 1. Cant. 1. Harl. 1. 3. Quod temere recepit Thiersch, quod πολυρρόδους cum ἀνθεμώδεις junctum tautologiam faciat, coll. Aesch. Sept. 7. ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις, et prata intelligens, quae magno concentu saltantium et canentium resonant. Gl. Cant. 1: πολυήχους ἢ πολυανθεῖς.

453. Μοῖραι] Μοῦσαι vel Ὧραι conj. Mein. ξυνάγουσιν vulg.

455. καὶ om. Bodl. 1. ἱλαρὸν A.M.Φ. Cant. 2. vulg. ἱερὸν R.V. Cant. 1. Harl. 1. Bodl. 1. (sc e v. 447.)

458. τρόπον] Fort. βίον. περὶ τοὺς D.R.S.V.Δ.Θ.Φ. Mut. 1. Suid. in ἰδιῶται. Dind. Bekk. recc. περί τε M.W.Y.X.Ω. Cant. 2. Ald. Br. περί τε τοὺς A.F.T.Z. Bodl. 1. Borg. Cant. 1. Harl. 3. prob. Br.

460. τρόπον τίνα A.

461. οὑπιχώριοι A.R.V. Cant. 1. Dind. οἱ 'πιχώριοι M.Φ. Cant. 2. vulg.

462. διατρίψεις R.S.V. Br. διατρίψῃς (aut -ῃς) A.D.M.T.W.Z.Δ.Θ.Φ.X.Ω. Mut. 1. Med. 4. Ald. γεῦσαι A.M.S.T.V.Y.Z.Δ.Θ.Φ.X.Ω. Mut. 1. Med. 4. vulg. Bergk. γεύσῃ (γεύσῃι s. Bekk.) R. γεύσει Elmsl. Bekk. Dind. Fr. Ko. Mein. Recte: cf. e. g. 524. et ad Eccl. 1146.

463. κοὺ τὸ λῆμ' Reisk. λῆμμ' Φ. et λῆμμα 602.

465. κἀναίσχυντε καὶ τολμηρὲ A.M.R.S.V.W.Y.Δ.Θ.X.Ω. vulg. καὶ τολμηρὲ κἀναίσχυντε T.Z.Φ. Bodl. 1. Recte, opinor. Cf. Pac. 182. ὦ βδελυρὲ καὶ τολμηρὲ κἀναίσχυντε σύ.

467. ἡμῶν A.R.V.Φ. Mut. 1. &c. ἡμῖν Bodl. 1. Cant. 1. Bo. ἐξελῶν conj. Reisk.

ἀπῇξας ἄγχων κἀποδρὰς ᾤχου λαβὼν,
ὃν ἐγὼ 'φύλαττον. ἀλλὰ νῦν ἔχει μέσος·
τοία Στυγός σε μελανοκάρδιος πέτρα
'Αχερόντιός τε σκόπελος αἱματοσταγὴς
φρουροῦσι, Κωκυτοῦ τε περίδρομοι κύνες,
Ἔχιδνά θ' ἑκατογκέφαλος, ἣ τὰ σπλάγχνα σου
διασπαράξει· πλευμόνων δ' ἀνθάψεται
Ταρτησσία μύραινα· τὼ νεφρὼ δέ σου
αὐτοῖσιν ἐντέροισιν ᾑματωμένω
διασπάσονται Γοργόνες Τιθράσιαι,
ἐφ' ἃς ἐγὼ δρομαῖον ὁρμήσω πόδα.
ΞΑ. οὗτος, τί δέδρακας; ΔΙ. ἐγκέχοδα· κάλει θεόν.
ΞΑ. ὦ καταγέλαστ', οὔκουν ἀναστήσει ταχὺ
πρίν τινά σ' ἰδεῖν ἀλλότριον; ΔΙ. ἀλλ' ὡρακιῶ.
ἀλλ' οἶσε πρὸς τὴν καρδίαν μου σφογγιάν.
ΞΑ. ἰδοὺ λαβέ. προσθοῦ. ΔΙ. ποῦ 'στιν; ΞΑ. ὦ χρυσοὶ θεοὶ,

468. ἀπῇξας S.T.X. Dind. ἀπῆξας R.V.Δ.Ω. vulg. ἀπήξας (sic) Θ. ἄπηξας W.Y.Z. κἀπῆξας Φ. ἀπῆγξας A. ἀπήγξας M.

469. φύλαττον A. ἔχῃ A.

473. ἔχιδνά θ' A.M.R.V.Z.Δ.Φ.X.Ω. Cant. 2. ἔχιδνα δ' Δ corr. Θ. ἔχιδνά τε T. ἔχιδνά γ' Cant. 1. Borg. ἔχιδνα W.Y. ἑκατογκέφαλος A.C.D.E. M.R.V.W.Δ.Θ.X.Ω. Cant. 2. Harl. 3. Med. 4. Biset. Bentl. ἑκατοντακέφαλος S.T.Y.Z.Φ. Bodl. 1. Cant. 1. Borg. Suid. iu τοία. Ald. Cf. ad Nub. 336. Aesch. Prom. 353. ἑκατοντακάρηνον (ita libri. ἑκατογκάρανον Blomf.).

474. πνευμόνων A.C.D.E.M.T.W.Y.Z.Δ.Θ.Φ.X. Bodl. 1. Cant. 1. 2. Urb. Elb. Suid. Th. Fr. Ko. Bergk. Mein. πλευμόνων R.S.V.Δ marg. Eust. Ald. Br. Bekk. Dind. Bo. πνευμάτων Mut. 1. Moeris: Πλεύμων 'Αττικῶς· πνεύμων 'Ελληνικῶς. Consentit Greg. p. 63. Sic νίτρον et Attice λίτρον. V. Blomf. ad Aesch. Theb. 61. et Lob. Phryn. p. 505. Cf. ad Lys. 367. Soph. Tr. 567. 778. 1054. τ' vulg. Correxi δ'. Cf. v. prox.

476. Ταρτησία A.R.V.Φ. &c. Phot. p. 570, 10. vulg. Th. Ko. Bergk. Mein. Ταρτησσία D.M. Fr. Dind. Recte, ut videtur. Ταρτησσίῃσι omnes libri praebent Herod. 4, 192.

479. ἐγκέχοδα] Forsan ἐπικέχοδα. Av. 68. ἐπικεχοδώς. Lys. 440. ἐπιχεσεῖ πατούμενος. Eccl. 640. Ξα. κάλει θεὸν in R. θεὸν suspectum habet Reisk.

481. ὡρακιῶ (sic) Cant. 1. 2. Eust. 1535, 47.

482. 487. σπογγιὰν libri et vulg. σφογγιὰν conj. Br. ed. Dind. σφογγίαν Mein. Dind. in Annot. conj. Bergk. Cf. ad Ach. 463.

483. ΞΑ. ἰδοὺ λαβέ. ΔΙ. πρόσθου. ποῦ 'στιν; ΞΑ. ὦ . . . Med. 4. Ald. ΞΑ. ἰδοὺ λαβέ. ΔΙ. πρόσθου. ΞΑ. ποῦ 'στιν; ὦ . . . A.C.D.E.M.R.V. Urb. Elb. Bodl. 1. Cant. 1. 2. Kust. Br. Bo. et (προσθοῦ) Dind. ΞΑ. ἰδοὺ λαβέ, πρόσθου. ΔΙ. ποῦ 'στιν; ΞΑ. ὦ . . . Dobr. Lenting. Fr. et (προσθοῦ) Ko.

ἐνταῦθ' ἔχεις τὴν καρδίαν; ΔΙ. δείσασα γὰρ
ἐς τὴν κάτω μου κοιλίαν καθείρπυσεν.
ΞΑ. ὦ δειλότατε θεῶν σὺ κἀνθρώπων. ΔΙ. ἐγώ;
πῶς δειλὸς, ὅστις σφογγιὰν ᾔτησά σε;
οὐ τἂν ἕτερος αὔτ' εἰργάσατ' ἀνήρ. ΞΑ. ἀλλὰ τί;
ΔΙ. κατέκειτ' ἂν ὀσφραινόμενος, εἴπερ δειλὸς ἦν·
ἐγὼ δ' ἀνέστην καὶ προσέτ' ἀπεψησάμην.
ΞΑ. ἀνδρεῖά γ', ὦ Πόσειδον. ΔΙ. οἶμαι νὴ Δία.
σὺ δ' οὐκ ἔδεισας τὸν ψόφον τῶν ῥημάτων
καὶ τὰς ἀπειλάς; ΞΑ. οὐ μὰ Δί' οὐδ' ἐφρόντισα.
ΔΙ. ἴθι νυν, ἐπειδὴ λῆματίας κἀνδρεῖος εἶ,
σὺ μὲν γενοῦ 'γὼ, τὸ ῥόπαλον τουτὶ λαβὼν
καὶ τὴν λεοντῆν, εἴπερ ἀφοβόσπλαγχνος εἶ·
ἐγὼ δ' ἔσομαί σοι σκευοφόρος ἐν τῷ μέρει.

Mein. ΞΑ. ἰδοὺ λαβέ. προσθοῦ. ποῦ 'στιν; ὦ . . . Bergk. Vera videtur Dobraei distributio personarum. Constat saltem proculdubio Xanthiae tribuendum esse προσθοῦ, i. e. *tibi ipse applica*. Tentabam ΞΑ. ἰδού. φέρε προσθῶ (sc. τῇ καρδίᾳ σου). ποῦ 'στιν; ὦ . . . Vel ΞΑ. ἰδοὺ, λαβέ. ΔΙ. πρόσθες. ΞΑ. ποῦ 'στιν; ὦ . . . (Cf. Th. 569. πρόσθες, sc. τὴν χεῖρα.) Sed nil temere mutandum. πρόσθου libri et vulg. Th. Fr. προσθοῦ Dind. Ko. Bergk. Mein. Cf. ad Av. 361. ὀξύβαφον προσθοῦ (πρόσθου et hic libri) λαβών. Eq. 51. ἐνθοῦ (ἔνθου libri). Soph. Tr. 1224. ταύτην . . . προσθοῦ (πρόσθου libri) δάμαρτα. χρυση θεα (supr. οι οι) V.

485. εἰς vulg. ἐς Dind. μου] A.M.R.T.V.W.Y.Z.Δ.Θ.X.Ω. vulg. μοι Φ. Urb. γε S.

487. σπογγιὰν libri et vulg. σφογγιὰν Dind. &c. Cf. ad 482.

488. οὔκουν M.R.W.Y.Z.Δ.Φ.Ω. Borg. Med. 4. vulg. Fr. οὐκοῦν A. οὐκ ἂν V. Scal. Bentl. Th. Ko. Mein. Dind. οὐ δειλότερος D. οὐκ ἄν γ' Bergk. οὔτἂν (οὐ τἂν) Elmsl. in Mus. Crit. I. 478. 487. Scribendum forsan οὐ τἂν vel οὔτἄν. γ' αὔτ' Φ. Cant. 1. Elmsl. Dind. Th. Mein. γ' αὐτ' R. αὐτ' (supr. αὐτὸ) T. αὔτ' Bodl. 1. ταῦτ' A.M.S.V.Δ.Θ.X.Ω. Cant. 2. Med. 4. vulg. Bergk. γ' ἂν Fr. οὐκ ἂν ἕτερός γ' εἰργάσατ' ἀνὴρ αὔτ' Ko. Qu. αὔτ' aut τοῦτ'.

489. εἰ pro εἴπερ A.

491. ἀνδρεῖά γ'] ἀνδρείας R.

494. νῦν A. λημματιᾶς Φ. λῆματιᾶς reliqui et Suid. in ἴθι. vulg. Dind. λημάτίας v. l. in schol. Bentl. Mein. Quae lectio parum dubito quin vera sit. Phot. p. 220, 15. λῆματίας: φρονηματίας, γεννάδας. Hesychius: λῆματίαν. φρονηματίαν. Suid. Formatum ut φρονηματίας (Xen. Ages. 1, 24), φρυαγματίας (Plut. Anton. 2), αὐχηματίας, στιγματίας, βαδισματίας (Cratin. Poll. 3, 92), ῥηγματίας (Hipp. Diosc.), σπερματίας (Cratin. ap. Phot. p. 530, 11), τραυματίας, ἡπατίας, λευκηπατίας (Zenob. 4, 87), κοππατίας, γυναικίας, στημονίας, κεραυνίας, &c. Contra ἀκερματιᾶν pro ἀκερματίαν reponendum suspicor in Arist. Fr. 119. (Poll. IX. 89. ἐν . . . τῷ Αἰολοσίκωνι τὸ μὴ ἔχειν κέρματα ἀκερματίαν ὠνόμασεν.) Cf. σιβυλλιᾶν Eq. 61.

ΞΑ. *φέρε δὴ ταχέως αὔτ᾽· οὐ γὰρ ἀλλὰ πειστέον·*
καὶ βλέψον ἐς τὸν Ἡρακλειοξανθίαν,
εἰ δειλὸς ἔσομαι καὶ κατὰ σὲ τὸ λῆμ᾽ ἔχων.
ΔΙ. *μὰ Δί᾽ ἀλλ᾽ ἀληθῶς οὐκ Μελίτης μαστιγίας.*
φέρε νυν, ἐγὼ τὰ στρώματ᾽ αἴρωμαι ταδί.

ΘΕΡΑΠΑΙΝΑ.

ὦ φίλταθ᾽, ἥκεις, Ἡράκλεις; δεῦρ᾽ εἴσιθι.
ἡ γὰρ θεός σ᾽ ὡς ἐπύθεθ᾽ ἥκοντ᾽, εὐθέως
ἔπεττεν ἄρτους, ἧψε κατερεικτῶν χύτρας
ἔτνους δύ᾽ ἢ τρεῖς, βοῦν ἀπηνθράκιζ᾽ ὅλον,
πλακοῦντας ὤπτα κολλάβους τ᾽. ἀλλ᾽ εἴσιθι.
ΞΑ. *κάλλιστ᾽, ἐπαινῶ.* ΘΕ. *μὰ τὸν Ἀπόλλω μή σ᾽ ἐγὼ*

498. *αὔτ᾽*] *αὐτ᾽* A. *αὐτὸν* R. hic et 532. *πιστέον* R. Elb.

499. *εἰς* libri. *ἐς* Dind. *Ἡρακλεοξ.* M.R. Med. 4. Bodl. 1. Cant. 1. Mut. 1. Qu. *Ἡράκλειον Ξανθίαν.*

502. *νῦν* A. *αἴρομαι* D.R. *ἄρωμαι* Cobet. Mein. Dind. *τάδε* R.

504. *σ᾽ ὡς*] *ὥς σ᾽* M.V.W.X.Ω. Cant. 2. *ὡς* A.R.T.Y.Z.Δ.Φ. Mut. 1. Cant. 1. Harl. 1. 3. Bodl. 1.

505. *ἔπεπτεν* Elb. *κατερικτῶν* R.T.V.Θ.X. Etym. M. p. 387, 16. vulg. Fr. Ko. Bergk. *κατερεικτῶν* A.D.Y.Δ.Φ. Suid. in *ἐρεικτόν.* Mein. Dind. *κατερηκτῶν* M.S.W.Z. Cant. 1. 2. *κατερρηκτῶν* Ω. *κατ᾽ ἐρρηκτῶν* Elb. *κατερεικτοῦ* Mut. 1. Diaconus ad Hesiodi Scut. 287. prob. Blomf. Gloss. ad Aesch. Pers. 544. Fit autem *ἐρικτὸς* ab *ἐρείκω*, ut *στιπτὸς* a *στείβω*, *τυκτὸς* a *τεύχω* (quanquam legitur etiam *τευκτὸς*, ut in Antiphan. Mein. III. 26. &c.), *ἄφυκτος* ab *φεύγω*, *πιστὸς* a *πείθομαι*, &c. V. ad Soph. Phil. 2. Sed fatendum est solennem esse errorem librariorum *ῑ* ponentium pro *ει*, de quo v. ad 1301. et Pac. 924.

506. 515. *δύ᾽ γ᾽ ἢ* M. *βοῦν*] *βοῦν τ᾽* V. *βοῦν δ᾽* Suidas in *ἀπηνθράκιζεν.* Particula *τ᾽* ex suo loco post *κολλάβους* in seq. v. huc migrasse videatur.

507. *ὤπτει* A. *κυλλάβους* libri et vulg. Malim *κολλάβους τ᾽*. Cf. ad v. 506. Aliud enim est *πλακοῦς*, aliud *κόλλαβος* (i. e. *μικρὸς ἀρτίσκος*, ut explicat schol. ad Pac. 1196). *ἀλλ᾽* A.S.T.W.Y.Z.Φ. Ald. *δεῦρ᾽* M.R.V.X. Sc. e v. 503. *ἴθι* Cant. 1.

508. *Ἀπολλῶ* (sic) *οὐ μή* R. *Ἀπόλλω᾽* (sic) *μή* S. *Ἀπόλλω οὐ μή* A.M.T.V.W.Y.Z.Δ. (om. *μὴ*) Θ.Φ.X.Ω. *Ἀπόλλ᾽ οὐ μή* M. Cant. 1. 2. Harl. 3. vulg. *Ἀπόλλω μή* Elmsl. ad Suppl. 1066. (*Quart. Rev.* XIV. 454. "Perhaps *οὐ* may be omitted. Cf. Av. 195. Eccl. 1000.") et ad Oed. Col. 177. Eidem conjecturae favere videtur Dobraeus Adv. II. 266. Reisigius (Synt. Crit. p. 41) locum sic corrigit: . . . *οὐ μή σ᾽ ἐγὼ* | *περιόψομαί γ᾽ ἀπιόντα.* Ipse tentabam . . . *οὐ μή ποτε* | *ἀπιόντα περιίδω σ᾽* . . . Vel . . . *οὐ μή σ᾽ ἐγὼ* | *ἀπιόντα περιίδω γ᾽.* Vel denique . . . *οὐ μή ποτε* | *σὲ περιίδω ἀπελθόντ᾽.* Olim mihi praestare videbatur *οὐ δή σ᾽* (vel potius *οὔ τοι σ᾽*) *ἐγὼ* | *περιόψομἀπελθόντ᾽.* Sed, omnibus bene perpensis, acquiescendum videtur in Elmsleii conjectura *μὰ τὸν*

περιόψομἀπελθόντ', ἐπεί τοι καὶ κρέα
ἀνέβραττεν ὀρνίθεια, καὶ τραγήματα
ἔφρυγε, κᾦνον ἀνεκεράννυ γλυκύτατον.
ἀλλ' εἴσιθ' ἅμ' ἐμοί. ΞΑ. πάνυ καλῶς. ΘΕ. ληρεῖς
ἔχων·
οὐ γάρ σ' ἀφήσω. καὶ γὰρ αὐλητρίς τέ σοι
ἤδη 'νδον ἔσθ' ὡραιοτάτη κὠρχηστρίδες
ἕτεραι δύ' ἢ τρεῖς— ΞΑ. πῶς λέγεις; ὀρχηστρίδες;

'Απόλλω μή σ' ἐγὼ | περιόψομἀπελθόντ'. Quae constructio mira certe et insolita est, sed exemplis aliquot parum dubiis satis munita. Cf. Eccl. 999. μὰ τὴν 'Αφροδίτην, ἥ μ' ἔλαχε κληρουμένη, | μὴ 'γώ σ' ἀφήσω. Lys. 917. μὰ τὸν 'Απόλλω ('Απόλλὼ Δ.) μή σ' ἐγὼ . . . κατακλινῶ χαμαί. Av. 194. μὰ γῆν . . . μὴ 'γὼ νόημα κομψότερον ἤκουσά πω. Cf. etiam Th. 269. βάδιζε τοίνυν. Μνη. μὰ τὸν 'Απόλλω (ἀπόλλὼ R.) οὔκ, ἤν γε μὴ | ὀμόσῃς ἐμοί. Vulgata certe soloeca est, nam post οὐ μὴ futuri indicativus sequi non potest, sed aoristi tantum subjunctivus, nisi quando interrogatio fit. Frustra, opinor, eam tuetur Hermannus ad Eur. Med. 1120, reddens: "*Non ego te non abire sinam?* i. e. non ego te retinebo? Immo retinebo." Interrogativam enim esse hanc formulam. Cf. ad Soph. Oed. C. 177. El. 1052. Plat. Crit. 44 B. οἷον ἐγὼ οὐδένα μή ποτε εὑρήσω (read εὕρω). σε pro σ' ἐγὼ Elb.

509. περιόψομαι ἀπελθόντα A.M.R.S.T.V.W.Y.Z.Δ.Φ.Ω. vulg. περιόψομ ἀπ. M.X. περιόψομἀπελθόντ' Porson. ap. Gaisf. ad Heph. p. 222. Dind. recc. περιόψομαί γ' ἀπιόντ' Reisig. Eadem crasis est Ach. 325. δήξομἄρ'. Th. 248. οἰμώξετἄρ'. Similis Eq. 1370. ἀγοράσἀγένειος. Cf. ad Ach. 325.

511. ἀνεκεράννυ] Praestat, ni fallor, ἐνεκεράννυ. Eccl. 841. κρατῆρας ἐγκιρνᾶσιν. Eubulus com. III. 248. τρεῖς . . . μόνους κρατῆρας ἐγκεραννύω τοῖς εὖ φρονοῦσιν. Sed vide comm.

512. ληρεῖς . . .] ΔΙ. praef. in libris et schol. et edd. vett. ΘΕ. Scal. Br. Tyrwhitt. Dind. recc. "Absurde haec verba Baccho tribuuntur, quae ab ancilla proferri in sensum mihi nunc incurrit. Invitatus primo Xanthias lepide recusat his verbis, κάλλιστ', ἐπαινῶ. Instat ancilla: *Ita me Apollo amet, ut ego te nunquam sinam abire, quandoquidem &c.* Abnuit iterum Xanthias alia formula πάνυ καλῶς. Potestne Bacchus servo nolenti ingredi et usque recusanti dicere, *Fatuus es, non enim te amittam?* Hoc dicit ancilla, quod secundae recusationi Xanthiae congruit, ut superiora illa primae." BR. ἔχων om. A.

513. καὶ γὰρ . . .] ΘΕ. praef. A.E.V? Ald. om. R. Scal. Br. Dind. recc. γε A.M.R.Φ. vulg. τε S.V. malit Lenting. Recte, opinor.

514. ἤδ' ἔνδον A.M.T.V.W.Y.Z.Δ.Θ.Φ.X.Ω. Harl. 3. Cant. 1. 2. Ald. Kust. Bo. Th. Lenting. (coll. Terent. Phorm. 3, 3, 34. *quid? istaec jam penes vos psaltria est? . . . Ellam intus.* Hom. Od. 10, 282. ἕταροι δέ τοι οἵδ' ἐνὶ Κίρκης | ἔρχαται). ἥ τ' ἔνδον S. ἤδ' (non ἤδ') ἔνδον R. Med. 4. ἤδη 'νδον Tyrwhitt. Seidler. Dobr. Dind. Fr. Ko. Bergk. Mein. μί' ἔνδον Br. ex conj. Schol. V: τὸ τέλειον ἤδε. Praestat ἤδη 'νδον. κ' ὀρχηστρίδες R.

515-516. Inverso ordine habet A., nulla persona notata ante ἠβυλλιῶσαι.

ΘΕ. ἠβυλλιῶσαι κἄρτι παρατετιλμέναι.
ἀλλ' εἴσιθ', ὡς ὁ μάγειρος ἤδη τὰ τεμάχη
ἔμελλ' ἀφαιρεῖν χἠ τράπεζ' εἰσήρετο.
ΞΑ. ἴθι νυν φράσον πρώτιστα ταῖς ὀρχηστρίσι
ταῖς ἔνδον οὔσαις αὐτὸς ὡς εἰσέρχομαι.
ὁ παῖς, ἀκολούθει δεῦρο τὰ σκεύη φέρων.
ΔΙ. ἐπίσχες, οὗτος. οὔτι που σπουδὴν ποιεῖ,
ὁτιή σε παίζων Ἡρακλέα 'νεσκεύασα;
οὐ μὴ φλυαρήσεις ἔχων, ὦ Ξανθία,

Priorem om. Ald. πῶς γε λέγεις R. Cf. ad 138. Verba πῶς λέγεις; Dionyso cont. D. ὀρχ.] ΘΕ. praef. A.D.Z.Φ.X. Urb.

516. ἠβυλλιῶσαι . . .] Haec cum praecedenti ὀρχηστρίδες connectunt Z.Φ. Urb. alii. Et, opinor, recte: non enim erat cur miraretur Xanthias ὀρχηστρίδας intro esse. ἠβυλλιῶσαί γ', ἄρτι Lenting, qui in talibus copulam elegantius omitti censet. Idem ipse conjeceram. Sed nulla mutatione opus erit, modo servi sermonem ab Xanthia interruptum protinus continuari existimes, ita ut nullum hic responsum sit.

518. ἔμελλ' R.Φ. Bodl. 1. Bekk. Dind. Th. Mein. ἤμελλ' A.V. Mut. 1. vulg. Fr. Ko. Bergk. Praeferendum ἔμελλ'. Altera forma bis tantum legitur in anapaestis, Ran. 1038. Eccl. 597. ἀφαιρεῖν] Fort. ἀφέλκειν aut ἀφέλξειν.

519-20. spurios judicant Hamaker. Mein. "Totum illud quod adventum suum praenunciari jubet nullo pleno consilio factum est." (Mein.)

519. νῦν A. πρώτιστα] τάχιστα conj. Mein. Nihil enim prorsus praeter hoc ipsum jubere Dionysum. ὀρχηστρίσι Bodl. 1. Suid. in αὐτός. Br. ὀρχηστρίσιν R. Dind. recc. αὐλητρίσιν F.V.Φ. Cant. 2. Mut. 1. Ald. αὐλητρίσι A.

520. ἔνδον A.R.V.Φ. &c. ἔνδοθεν D.M. Elb. Mut. 1. Cf. ad Pac. 233. ὡς A.S.W.Y.Δ corr. Θ corr. Ω. vulg. ὅτι D.R.Z.Δ.Θ.Φ.X. Mut. 1. Suid. l. l. Ko. Mein. ὅτ' T.V. Bodl. 1. ὅτι γ' M. Elb.

522. οὔτοι που Bodl. 1. et schol. ad Pl. 143. οὔ τοί που M. οὔ τις που V. ποιεῖ V. Dind. recc. ποιεῖς M.S.T.Φ.X.Ω. Bodl. 1. Harl. 3. Cant. 1. 2. vulg. ποεῖς A.R. Photius p. 532, 14. σπουδὴν ποιεῖσθαι: τὸ ὀργίζεσθαι, οὕτως Ἀριστοφάνης ἐν Βατράχοις.

523. Ἡρακλέα γ' ἐσκεύασα A.M.S.W.Y.Z.Φ.X.Ω. Cant. 1. 2. Ἡρακλέα γ' ἐσκεύακα V. Th. Ἡρακλέα σ' ἐσκεύασα Bodl. 1. Ἡρακλέ' ἐσκεύασα R. Ἡρακλέα 'σκεύασα T. Ἡρακλέα 'νεσκεύασα Elmsl. ad Ach. 385. Dind. Fr. Ko. Bergk. Mein. Ipse tentabam ὁτιή γε παίζων Ἡρακλέα σ' ἐσκεύασα. Bene enim dicitur, opinor, σκευάζειν τινὰ Ἡρακλέα, non item ἐνσκευάζειν. Cf. Ach. 121. εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος. 739. χοίρως γὰρ ὑμὲ σκευάσας &c. Thesm. 591. καὶ τἄλλ' ἅπανθ' ὥσπερ γυναῖκ' ἐσκεύασεν (αὐτόν). Herod. V. 12. σκευάσαντες τὴν ἀδελφεὴν ὡς εἶχον ἄριστα. Plut. Caes. 31. οὕτω . . . σκευάσαντες ἑαυτούς. Sed parum hic conveniret particula γε.

524. φλυαρήσεις C.D.M.(?)R.W. Cant. 2. φλυαρήσης (-ῃς) A.E.S.T.V.Y.Z. Δ.Θ.Φ.X.Ω. Mut. 1. Cant. 1. Bodl. 1. Elb. ὁ Ξανθία ed. Zan. Fort. ὁ Ξανθίας, ut ὁ παῖς 521. Cf. ad 271.

ἀλλ' ἀράμενος οἴσεις πάλιν τὰ στρώματα;
ΞΑ. τί δ' ἔστιν; οὔτι πού μ' ἀφελέσθαι διανοεῖ
ἅδωκας αὐτός; ΔΙ. οὐ τάχ', ἀλλ' ἤδη ποιῶ.
κατάθου τὸ δέρμα. ΞΑ. ταῦτ' ἐγὼ μαρτύρομαι
καὶ τοῖς θεοῖσιν ἐπιτρέπω. ΔΙ. ποίοις θεοῖς;
τὸ δὲ προσδοκῆσαί σ' οὐκ ἀνόητον καὶ κενὸν
ὡς δοῦλος ὢν καὶ θνητὸς ἀλκμήνης ἔσει;
ΞΑ. ἀμέλει, καλῶς. ἔχ' αὔτ'· ἴσως γάρ τοί ποτε
ἐμοῦ δεηθείης ἄν, εἰ θεὸς θέλοι.
ΧΟ. ταῦτα μὲν πρὸς ἀνδρός ἐστι — στρ.
νοῦν ἔχοντος καὶ φρένας καὶ
πολλὰ περιπεπλευκότος,
μετακυλίνδειν αὑτὸν ἀεὶ
πρὸς τὸν εὖ πράττοντα τοῖχον
μᾶλλον ἢ γεγραμμένην
εἰκόν' ἑστάναι, λαβόνθ' ἓν
σχῆμα· τὸ δὲ μεταστρέφεσθαι

525. ἀράμενος D.E.M.R.V.Φ. &c. Dawes. Br. recc. ἀράμενός γ' A. Ald.

526. ἐστιν A. οὐ δή που A.M.R.Φ. &c. vulg. οὔ τι που V. (ut vid.), ut in 522. Recte, opinor. Scilicet οὐ δήπου est suspicantis, οὔ τί που autem mirantis et indignantis, ut docet Stallb. ad Plat. Symp. 194 B. διανοῇ A.

527. ἅ'δωκας A. ἁ 'δωκας vulg. ἅδωκας Bekk. Dind. &c. ποῶ A.R.V.(?) Bekk.

531. Qu. θνητὸς ὢν καὶ δοῦλος. Sed v. 583. Nempe in diis erant δοῦλοι, Apollo (Av. 516) et Mercurius. DOBR. Similis ordinis perversio est in Eur. El. 969. ἥ μ' ἔθρεψε κἄτεκε. Ἀλκμήνης (γ' add. A.) libri et vulg. Dind. Fr. Ko. Bergk. ἀλκμήνης Lenting. 'Αλκμήνης (sic) Mein. Dind. Cf. ad Th. 563. Nub. 1372. Recipiendum videtur ἀλκμήνης. Non enim erat cur indignaretur Dionysus quod Alcmenae filius, sed quod Hercules (ἀλκμήνης), divinus ille et immortalis, videri vellet Xanthias. Neque obstare debet v. 631. ἀθάνατος εἶναί φημι Διόνυσος Διός.

532. αὔτ' A. αὐτὸν R. Cf. ad 498. Ceterum offendit nonnihil καλῶς.

533. θέλοι A.M.R.V.Φ. &c. θέλει D. et schol. ad 463. θέλῃ Cant. 1.

535. καὶ πολλὰ A.M.R.S.T.V.Y.Z.X.Ω. καὶ om. Δ pr. Θ.Φ. Cant. 1.

536. μετακυλινδεῖν A.M.V.Y.Z.Φ. vulg. Bergk. μετακυλίνδειν R.S.T.X. Fr. Ko. Mein. Dind. Idem reponi jubet Cobet. V. L. p. 133. Alteram enim formam in veteribus scriptoribus sublestae fidei esse. Cf. Eq. 1249. κυλίνδετε. Eccl. 208. κυλίνδεται. Nub. 375. κυλινδόμεναι. Vesp. 492. κυλίνδεται. Pac. 134. ἐκκυλίνδων. Ita etiam apud Homerum. Sed in tetrametris anapaestis ἐκυλινδούμην est Av. 502. προκυλινδεῖσθαι 501. γ' αὐτὸν A. ἀεὶ A.R.V. Cant. 1. Bodl. 1. Suid. in ταῦτα πρὸς ἀνδρός. Dind. &c. αἰεὶ M.(?) &c. Ald. Br.

537. τοῖχον μᾶλλον M.R.V.Φ. &c. Ald. μᾶλλον τοῖχον A. Mut. 1. Br.

538. μεταστρέφεσθαι M.V.Φ. Suid. in δεξιὸς et μαλθακώτερον. Ald.

πρὸς τὸ μαλθακώτερον
δεξιοῦ πρὸς ἀνδρός ἐστι
καὶ φύσει Θηραμένους.

ΔΙ. οὐ γὰρ ἂν γέλοιον ἦν, εἰ
Ξανθίας μὲν δοῦλος ὢν ἐν
στρώμασιν Μιλησίοις
ἀνατετραμμένος κυνῶν ὀρ-
χηστρίδ', εἶτ' ᾔτησεν ἀμίδ', ἐ-
γὼ δὲ πρὸς τοῦτον βλέπων
τοὐρεβίνθου 'δραττόμην, οὗ-
τος δ' ἅτ' ὢν αὐτὸς πανοῦργος
εἶδε, κᾆτ' ἐκ τῆς γνάθου
πὺξ πατάξας μοὐξέκοψε
τοῦ χοροῦ τοὺς προσθίους;

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

Πλαθάνη, Πλαθάνη, δεῦρ' ἔλθ', ὁ πανοῦργος οὑτοσί,
ὃς ἐς τὸ πανδοκεῖον εἰσελθών ποτε

μεταστρέφεσθ' ἀεὶ R. Bodl. 1. μεταστρέφειν A.D. Cant. 1. Harl. 1. Br Gl. D: μεταστρέφεσθαι. Cf. ad 594. Sed forma media est Lys. 125. 986.

541. ἂν F.R.T.V.Φ corr. Urb. Bodl. 1. Cant. 1. Harl. 3. Br. δὴ M.W.Y. Δ.Φ.Χ.Ω. Cant. 2. Ald. τοι S.Δ corr. Particulam om. A.D.Z.Θ. Mut. 1. γελοῖον A. Ald.

542. στρώμασι A.R. Mut. 1. Μιλησίοισιν A. Mut. 1.

543. κυνῶν R. et V. (ut vid.) Bentl. Pors. Br. ad Pac. 1138. Bekk. Dind. &c. κινῶν A.F.M.T.W.Y.Z.Φ.Χ.Ω. Mut. 1. Ald. βινῶν (gl. φιλῶν) S. φιλῶν Br. ex conj.

544. ἀμίδ' Cant. 1. 2. "ἀμὶς asperant Attici, teste Bekk. Lex. S. G. p. 380, 27. Vide Pierson. ad Moerin p. 179. Schweigh. ad Athen." DOBR. Idem docet Eust. p. 1387, 9.

545. τοῦ 'ρεβίνθου A. δραττόμην A. οὗτος δ' M.V.W.Y.Θ.Χ.Ω. &c. vulg. αὐτὸς δ' R.T.Z.Φ. Urb. Bodl. 1. καὶ μὴν οὗτος (om. δ') A.

546. ὢν αὐτὸς A.M.V.W.Y.Θ.Ω. vulg. Dind. Fr. Ko. ὢν (om. αὐτὸς) R.T.Z.Φ.Χ. Urb. Bodl. 1. ὢν καὐτὸς Bergk. Mein. ὢν πανοῦργος αὔτ' | εἶδε Lenting. (servato μεταστρέφειν in v. stroph. 538.) Ipse tentabam ὢν φύσει πανοῦργος | εἶδε.

548. μοὐξέκοψε A. μ' οὐκ ἐξέκοψε Elb. μ' ἐξέκοψε D. Bodl. 1. Cant. 1. τοὺς χοροὺς vulg. τὸν χορὸν D. τοῦ χοροῦ Herw. A. C. p. 53. Recte, opinor. Vide Kock. ad h. l.

549. ΠΑ. Α.] ΠΑ. libri. Haec (549-78) inter ΠΑΝ. et ΠΛΑΘ. distribuit Bergk. ἔλθ' M.R.V.Φ. Mut. 1. Cant. 2. vulg. ἦλθ' A. Cant. 1. Bodl. 1. Harl. 1. 3. Reisk. (sic: δεῦρ'. ἦλθ' ὁ . . .).

550. εἰς libri et vulg. ἐς Dind. πανδοχεῖον Cant. 1. ποτε] Fort. τότε.

ἑκκαιδεκ ἄρτους κατέφαγ' ἡμῶν.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

νὴ Δία,
ἐκεῖνος αὐτὸς δῆτα. ΞΑ. κακὸν ἥκει τινί.
ΠΑ. Α. καὶ κρέα γε πρὸς τούτοισιν ἀνάβραστ' εἴκοσιν
ἀν' ἡμιωβολιαῖα. ΞΑ. δώσει τις δίκην.
ΠΑ. Α. καὶ τὰ σκόροδα τὰ πολλά. ΔΙ. ληρεῖς, ὦ γύναι,
κοὐκ οἶσθ' ὅ τι λέγεις. ΠΑ. Α. οὐ μὲν οὖν με προσεδόκας,
οτιὴ κοθόρνους εἶχες, ἂν γνῶναί σ' ἔτι.
τί δαί; τὸ πολὺ τάριχος οὐκ εἴρηκά πω.

551. *κατέφαγ'* V.Φ. Bentl. Herm. de Metr. p. 152. Dind. &c. *κατέφαγεν* A.M.R. vulg. Cf. ad Ach. 1023. *ἡμῶν* A.M.R.V.Φ. &c. *ἡμῖν* Bodl. 1. Cant. 1. *πλαθ.* praef. A.R. &c. vulg. *ἑτέρα πανδ.* C.D.E. Bodl. 1. *ἄλλη πανδ.* aut *πανδ.* al. *πανδ. β'.* Dind. Cf. ad 556. 558.

553. *τούτοις* A. *εἴκοσι* A.R.

554. *ἀν' ἡμιωβολιαῖα* E.V. Cant. 2. Kust. Br. Bo. Dind. Th. Fr. Ko. Bergk. Mein. *ἀν' ἡμιωβολιμαῖα* M.Y.Z.Ω. *ἀνημιωβολιαῖα* A.R.S.T.X. Med. 4. Harl. 1. Ald. *ἀνήμιωβολιαῖα* Δ. (aut *-μαῖα*). *ἀνημιοβολιαῖα* Cant. 1. *ἀνημιωβολιμαῖα* Φ. "Putant vulgo esse unam vocem *ἀνημιωβολιαῖα*, quae composita sit ex *ἀνὰ* et *ἡμιωβόλιον*. Sed praestat divisim scribere *ἀν' ἡμιωβολιαῖα*, quod si plene scribatur, erit *ἀνὰ ἡμιωβολιαῖα*, i. e. *quorum singula semiobolo constant*. *ἀνὰ* enim interdum esse particulam *distributivam* (ut grammatici loquuntur) et sensu aequipollere Latinae voci *singuli* vel ex lexicis vulgatis lector discere poterit. Sententiam hanc confirmat auctoritas Pollucis 9, 64, qui locum hunc Arist. vocis *ἡμιωβολιαῖα* gratia citat: unde ms. quidam codex recte ibi vocem hanc dividit scribendo *ἀν' ἡμιωβολιαῖα*." KUST. Defendi fortasse potest vulgata *ἀνημιωβολιαῖα*, et conferre licet v. *θεοισεχθρία* (Vesp. 418), *καλοκαγαθία*, *ὑπόρθριος* (Anacreont. 9, 9. *ὑπορθρίαισι φωναῖς*), *φιληλιὰς* (*ᾠδὴ φιληλιάς*, i. e. *ἔξεχ', ὦ φίλ' ἥλιε*, Athen. 619 B.), Latinum *unus et vicesimus*, nostrum *analogous*, et similia. Sed praestat, opinor, altera lectio. Cf. Xen. Mem. I. 3. 12. *τὰ φαλάγγια οὐδ' ἡμιωβολιαῖα τὸ μέγεθος.* Timocl. com. III. 604. *τῶν ἀν' ὀκτὼ τοὐβολοῦ | θέρμους μαλάξας.* Epicharm. ap. Poll. IX. 82. *ἂμ πεντώγκιον | ἀργυρίου . . . αἱ δ' ἀν' ἡμιλίτριον | δεχόμεναι.* Eupol. com. II. 493. *ἡμιωβολίου κρέα.* Similiter fere Xen. An. IV. 2. 28. *εἶχον δὲ τόξα ἐγγὺς τριπήχη.* Gl. D: *ἄξιον ἡμίσεος ὀβολοῦ ἓν ἕκαστον.*

556. *οἶσθ'*] Fort. *οἶδ'*. Eccl. 833. *οὐκ οἶδ' ὅ τι ληρεῖς.* 989. *οὐκ οἶδ' ὅ τι λέγεις.* *οὐκ οἶσθ'* M. *πανδ.* A. Ald. Πλ. Kust. *πανδ. α'.* Br. Dind. *οὔμενουν* Mut. 1. Ald. *με*] *γε* Bodl. 1.

557. *εἶχες*] *ἔχεις* Bodl. 1. *ἀναγνῶναι* A.M.R.S.T.V.W.Y.Z.Δ.Θ.Φ.X.Ω. vulg. *αὖ γνῶναι* Borg. *ἂν γνῶναι* Elmsl. ad Ach. 178. Dobr. Dind. recc. Ceterum male vulgo in fine versus interrogationis nota ponitur. Schol: *οὐ προσεδόκας με γνῶναί σε.*

558. *ἄλλη πανδ.* praef. A.R. *πανδ. α'.* M. *ἑτ. πανδ.* T.W.Y.Z.Θ.Φ.Δ.

ΠΑ. Β. *μὰ Δί', οὐδὲ τὸν τυρόν γε τὸν χλωρὸν, τάλαν,*
ὃν οὗτος αὐτοῖς τοῖς ταλάροις κατήσθιε·
κᾆπειτ', ἐπειδὴ τἀργύριον ἐπραττόμην,
ἔβλεψεν ἔς με δριμὺ κἀμυκᾶτό γε.
ΞΑ. *τούτου πάνυ τοὔργον, οὗτος ὁ τρόπος πανταχοῦ.*
ΠΑ. Β. *καὶ τὸ ξίφος γ' ἐσπᾶτο μαίνεσθαι δοκῶν.*
ΠΑ. Α. *νὴ Δία, τάλαινα.* ΠΑ. Β. *νὼ δὲ δεισάσα γέ που*

Bodl. 1. Πανδ. praef. Ald. Πανδ. β'. Br. πλαθ. V. In omnibus libris alia persona praefigitur. Cauponae primae continuant Dind. Th. recc. "V. 558-562. in A.D. unius sunt personae. Contra in C.E. et Barocciano v. 559-562. alteri cauponae tribuuntur. Correxi haec ut res postulabat. Apparet enim v. 558. *τί δαί; τὸ πολὺ τάριχος οὐκ εἴρηκά πω* non alii convenire personae quam Πανδοκευτρίᾳ α', quae quum alia Herculis facinora commemorasset, hoc se *nondum* tetigisse dicit de salsamentis." DIND. *τί δαί* A.M.V.Z.Δ.Φ. *τί δέ* R.Y. Bodl. 1. *εἴρηκα*] *εἴρηκας* V. Conjectura librarii prava personarum descriptione decepti. DIND.

559. πανδ. praef. V. πανδ. β'. C.E. Bodl. 1. πλαθ. Bodl. 1. Nulla persona in A.D. Πανδ. α'. tribuit Seager. Qu. *μὰ Δί' οὐδὲ τὸν χλωρόν γε τυρὸν, ὦ τάλαν.* Ceterum, ne reponendum putes *τάλαιν'*, ut infra v. 565, cf. Lys. 102. Eccl. 124.

560. *ὃν οὗτος* D.E.F.R.V.Φ. Urb. Cant. 1. Bodl. 1. Bekk. Dind. *ὃν αὐτὸς* A.E. Borg. Br. *ὃν οὕτως* Harl. 3. *ὅνπερ σὺν* C. Cant. 2. Ald. *αὐτοῖς τοῖς* C.D.E.V.Φ. Mut. 1. Borg. Urb. Cant. 2. schol. et gramm. Bekk. Anecd. p. 466, 30. *αὐτοῖς* A.F.R. Bodl. 1. Cant. 1. Harl. 3. Suid. in *αὐτοῖς*. *σὺν τοῖς* E. *αὐτοῖσι* Ald. Exciderat *τοῖς* post simile -*τοῖς*. Aliter facilis foret correctio *αὐτοῖσιν ταλάροις*.

561. Πανδ. praef. Bergk. Ko. Πανδ. α'. Dind.

562. *εἰς ἐμὲ* A.M.T.V.W.Y.Z.Φ.X.Ω. Mut. 1. Ald. Br. Fr. *εἴς με* S. Med. 4. Suid. in *ἐμυκᾶτο*. Bekk. Bo. Ko. Bergk. *εἰς μὲ* (sic) R. Th. *ἔς με* Dind. Mein. *εἰς ἐμὲ*, ut a comico non alienum, tuetur Fritzch. *κἀμυκᾶτό γε* A.C.D.E.M.R.V.Φ. Cant. 2. *κἀπεμυκᾶτο γε* F.T. Bodl. 1. Harl. 1. 3. *κἀπεμυκᾶτο μέ* (supr. *γα*, sic) Cant. 1. Legendum forsan *κἀμωκᾶτό με*, aut *κἀμωκήσατο*, aut *κἀμωχᾶτ' ἔχων*. (Alciphr. I. 33. *κιχλίζουσα . . . καὶ μωκωμένη*. III. 27. *κιχλίζουσα καὶ μωκωμένη με διατελεῖς*. III. 74. Athen. II. 55 D. *ἐπὶ καταμωκήσει*. Phot. p. 283, 20. *μωκωμένης: χλευαζομένης*.) Vel *κἀμύχθιζέ γε*, vel *κἀμύχθιζ' ἔχων*. (Aesch. Fr. 337. Theocr. 20, 13. *χείλεσι μυχθίσδοισα*. Meleag. Epigr. 52. *τί μάταια γελᾷς καὶ σιμὰ σησηρὼς | μυχθίζεις;*) Vel *κἀμυκτήρισε*. Vel denique *κἀβόα μέγα*. Ceterum, si recte se habet vulgata, tribuenda haec suspicor cauponae priori; personae enim mutationem indicant particulae *καὶ . . . γε*, Anglice *yes and*. Sic v. 564. *καὶ τὸ ξίφος γ' ἐσπᾶτο*. Locus, ut hodie legitur, neutiquam sincerus videtur.

563. Πανδ. cont. M. *τοῦργον* (sic) S.T. *τοὖργον* (sic) A.Δ.Φ.

564. πανδ. β'. praef. Dind. πανδ. α'. Ko. πανδ. Bergk. *γ'* A.M.R.Φ. *δ'* Bodl. 1. om. V. Mut.

565. ΞΑ. *νὴ . . .* A.C.D.E.F.M.R.V. Bodl. 1. Cant. 1. 2. Urb. Elb. &c. Th.

ἐπὶ τὴν κατῆλιφ' εὐθὺς ἀνεπηδήσαμεν·
ὁ δ' ᾤχετ' ἐξάξας γε τὰς ψιάθους λαβών.
ΞΑ. καὶ τοῦτο τούτου τοὔργον. ἀλλ' ἐχρῆν τι δρᾶν.
ΠΑ. Α. ἴθι δὴ κάλεσον τὸν προστάτην Κλέωνά μοι.
ΠΑ. Β. σὺ δ' ἔμοιγ', ἐάνπερ ἐπιτύχῃς, Ὑπέρβολον,
ἵν' αὐτὸν ἐπιτρίψωμεν. ΠΑ. Α. ὦ μιαρὰ φάρυγξ,
ὡς ἡδέως ἄν σου λίθῳ τοὺς γομφίους
κόπτοιμ' ἄν, οἷς μου κατέφαγες τὰ φορτία.

Πανδ. β'. Br. Πανδ. Fr. Πανδ. α'. Dind. Πλαθ. Mein. Ko. Cauponae continuat Ald. Thierschio languere videntur verba νὼ δὲ . . . , nisi Xanthiae tribuatur interpellatio νὴ Δία, τάλαινα. Πλαθ. νὼ . . . Ald. Fr. Πανδ. α'. Br. Ko. Πανδ. Mein. Πανδ. α'. cont. Dind. δεισάσα R.V.Δ.Θ.Φ. Med. 4. Bekk. Dind. recc. δεισάσαι A.M.S.T.W.Y.Z.Δ corr. Θ corr. X.Ω. Mut. 1. νὼ δὲ δὴ δείσαντέ που conj. Mein. ("δείσασαι scioli emendatio est metro timentis. Atticus sermo requirit δείσαντε.") Cf. Av. 120. ταῦτ' οὖν ἱκέται (ἱκέτα recte Elmsl. &c.) νὼ πρὸς σὲ δεῦρ' ἀφίγμεθα. Soph. Ant. 58. μόνα . . . νὼ λελειμμένα . . . ἀπολούμεθ'. Oed. C. 1601. μολοῦσα (μολοῦσαι alii libri: cf. ad 1640. 1676). Vide Fritzch. ad Thesm. p. 529. που V. Dind. recc. πω A.M.R.T.W.Y.Z. Φ.X.Ω. Med. 4. Mut. 1. vulg. πως S.Δ. conj. Dobr. et Dind. Cf. Lys. 155. Soph. Oed. R. 105. ἔξοιδ' ἀκούων· οὐ γὰρ εἰσεῖδόν γέ πω (που recte Δ.). Aj. 489. θεοῖς γὰρ ὧδ' ἔδοξέ που. Confunduntur που et πω Av. 195. "Pudet enim Plathanem timoris sui, quae nunc Pseudherculi ipsa terrori sit." FRITZCH.

567. Plathanae tribuendum esse suspicatur Mein. Qu. Πανδ. α'. Mutari hic personam ostendere videtur particulae γε additio. Cf. 574. ἐξάξας edd. vett. Correxerunt Bentl. Kust. τὰς A.M.R.S.T.V.W.Y.Z.Φ.X.Ω. et haud dubie reliqui libri, et sic vulg. Th. Fr. Ko. Bergk. Mein. Dind. τοὺς Both. "Schol: τὰς ψιάθους. ἐν τῷ Καλλιστράτῳ γέγραπται τοὺς ψιάθους, καὶ ὅτι σεσημείωται τοῦτο, ὅτι ἀρσενικῶς εἶπε. Ψιάθους masculino genere dixisse Aristophanem annotat Suidas. Hoc recepi. Feminino utitur Lys. 921." DIND. Nil contra librorum omnium auctoritatem in re valde dubia mutandum. De genere vocis v. Phryn. p. 309.

568. τοὔργον A. ἀλλ' ἐχρῆν τι δρᾶν] Haec, quae vulgo Xanthiae tribuuntur, cauponae dat Mein. Recte fortasse. Schol: δύναται καὶ ἡ γυνὴ (caupona) λέγειν. ἀντὶ τοῦ τιμωρήσασθαι. τί δρᾶν; M.

570. δ' ἔμοιγε R. δέ μοί γ' M. Πανδ. β'. praef. D. Br. Dind. &c. Πλαθ. V. Praecedenti personae haec continuant A.C.E.R. Ald.

571. ΠΑ. Α.] Spatium relictum in A. μιαρὲ M. φάρυγξ A.M.R. Cant. 2. φάρυξ D.V. Cant. 1. Cf. ad 259.

572. ὡς ἡδέως τοὺς γομφίους ἄν σου λίθῳ | 'κκόπτοιμ' ἂν malit Mein. Probabilior correctio foret ὡς ἡδέως ἄν σοὐκ (i. e. σοι ἐκ) λίθῳ τοὺς γομφίους | κόπτοιμ' ἄν, ut tmesis sit: nam κόπτειν pro ἐκκόπτειν dubito an recte poni queat. Sed nil temere mutandum. Vide comm.

573. τοὺς γομφίους κόπτοιμ' ἄν] Non κόπτειν τοὺς ὀδόντας dicere solere, sed ἐκκόπτειν, monet Mein., coll. 548. μοὐξέκοψε τοὺς χοροὺς τοὺς προσθίους.

ΠΑ. Β. ἐγὼ δέ γ' ἐς τὸ βάραθρον ἐμβάλοιμί σε.
ΠΑ. Α. ἐγὼ δὲ τὸν λάρυγγά γ' ἐκτέμοιμί σου
δρέπανον λαβοῦσ', ᾧ τὰς χόλικας κατέσπασας.
ἀλλ' εἶμ' ἐπὶ τὸν Κλέων', ὃς αὐτοῦ τήμερον
ἐκπηνιεῖται ταῦτα προσκαλούμενος.
ΔΙ. κάκιστ' ἀπολοίμην, Ξανθίαν εἰ μὴ φιλῶ.
ΞΑ. οἶδ' οἶδα τὸν νοῦν· παῦε παῦε τοῦ λόγου.
οὐκ ἂν γενοίμην Ἡρακλῆς ἄν. ΔΙ. μηδαμῶς,

Phryn. com. II. 603. τοὺς γομφίους ἅπαντας ἐξέκοψε. Nub. 24. Sed correctio ejus parum est probabilis, ὡς ἡδέως τοὺς γομφίους ἄν σου λίθῳ | 'κκύπτοιμ' ἄν.

κόπτοιμ' ἂν] Praestat fortasse κόψαιμ' ἄν, ut mox ἐμβάλοιμι et ἐκτέμοιμι. Solet enim in imprecationibus adhiberi aoristus. Qu. θραύσαιμ' ἄν. Cf. Fr. 488.

574. Παν. praef. A. Πλαθ. V. ἐγὼ δέ γ' A.R.S.V.W.Y.Z.Δ.Θ.Φ. Mut. 1. vulg. Th. Fr. Ko. Bergk. Mein. ἐγὼ δ' C.D.E.M.Ω. Elb. ἐγὼ δ' ἂν Elmsl. n. ms. Dind. ex conj. Lenting. ἐγὼ δέ γ' ἐς . . . σ' ἂν Enger. ad Lys. 760. Versum ejicit Mein. Vera est vulgata. Repetenda est particula ἂν ex alterius cauponae sermone, ut in v. prox. Cf. Eq. 1057. Pl. 1090-1. ἐγὼ δέ γ' . . . ἐγὼ δέ γ' . . . Lys. 115. ἐς C.E. Br. Dind. Th. &c. εἰς A.D. Ald. Bergk. ὡς (ni fallor) S.

575. Πλαθ. praef. A. ἐγὼ δέ γε τὸν Hamaker. Mein. τὸν λάρυγγ' (φάρυγ' V.) ἂν libri et omnes edd. Sed reponendum proculdubio τὸν λάρυγγά γ'. Subaudiri potest ἂν, contra plane postulatur γε. Cf. e. g. 567. et ad v. 574. Eq. 1057. Nisi praestat scribi ἐγὼ δὲ τὸν (τὴν) φάρυγά γ' ἂν . . .

ἐκτέμοιμι] ἐκτέμνοιμι malit Mein. propter κόπτοιμι 573.

576. τοὺς κύλικας A.D.M.R.S.T.V.Z.Δ.Θ.Φ.X. Thom. Mag. p. 570. vulg. τὰς κόλικας (ni fallor) W.Y. κόλικας (sine art.) Ω. τοὺς χόλικας Schweigh. ad Athen. vol. 7. p. 540. τὰς χόλικας Schaefer. ad Greg. C. p. 550. Dind. recc. Ad utramque scripturam spectat scholiastae interpretatio, ἢ ἄρτους ἢ ἔντερα. Sed placenta fuit κόλλιξ, non κόλιξ, producta media in casibus obliquis, κόλλῖκος, &c. (Cf. ad Ach. 872.) Feminino genere τὰς χόλικας dixisse scriptores veteres ac probos testatur Phrynichus Bekkeri p. 72, 5. χόλικες: οἱ πολλοὶ ἀρρενικῶς, οἱ δ' ἀρχαῖοι θηλυκῶς. et idem Appar. p. 469. Cf. Moerin. p. 404, qui veteribus Atticis χολάδας, mediis τὰς χόλικας, vulgaribus Graecis τοὺς χύλικας tribuit. Cf. Pac. 717. ὅσας δὲ κατέδει χόλικας ἑφθὰς καὶ κρέα. Inter χολάδας et χόλικας distinguit Ammonius.

577. Πλαθ. praef. Bergk.

578. ἐκποινιεῖται Bodl. 1. Cant. 1 pr. Eadem scriptura in scholiis memoratur. ἐκπηνιεῖται agnoscunt Hesych. Suid. Eust. p. 1328, 48.

579. εἰ φιλῶ μὴ ξανθίαν A.

580. Lenting. conj: οἶδ' οἶδα τὸν νοῦν . . . παῦε παῦε . . . τοῦ λόγου. Male: cf. Pl. 1080. τοῦ λόγου] τούτους τοὺς λόγους V. Quod ferri potest, si semel scribatur παῦε. Sed cf. Pl. 1080.

581. οὐκ ἂν] οὐκ αὖ (!) Fritzch. ad Th. 196. Ἡρακλῆς ἂν] Ἡρακλῆς αὖ Hirschig. Elmsl. n. ms. Mein. Dind. Jam enim Herculem fuisse eum.

ὦ Ξανθίδιον. ΞΑ. καὶ πῶς ἂν Ἀλκμήνης ἐγὼ
υἱὸς γενοίμην, δοῦλος ἅμα καὶ θνητὸς ὤν;
ΔΙ. οἶδ' οἶδ' ὅτι θυμοῖ, καὶ δικαίως αὐτὸ δρᾷς·
κἂν εἴ με τύπτοις γ', οὐκ ἂν ἀντείποιμί σοι.
ἀλλ', ἤν σε τοῦ λοιποῦ ποτ' ἀφέλωμαι χρόνου,
πρόρριζος αὐτός, ἡ γυνή, τὰ παιδία,
κάκιστ' ἀπολοίμην—κἀρχέδημος ὁ γλάμων.
ΞΑ. δέχομαι τὸν ὅρκον, κἀπὶ τούτοις λαμβάνω.
ΧΟ. νῦν σὸν ἔργον ἔστ', ἐπειδὴ ἀντ.
τὴν στολὴν εἴληφας, ἥνπερ

Temere. Nunquam, opinor, ponitur αὖ solum per se pro *πάλιν rursus, iterum*. Bergkius conj: οὐκ . . . Ἡρακλῆς. ΔΙ. ἆ, μηδαμῶς.

582. ὦ Ξανθίδιον] Ξανθίδιον (ῑ) aut ὦ Ξάνθιον conj. Mein. (qui, "Nisi egregie fallor, Ξανθίδιον secunda brevi dici non potuit. Posset sane, si a Ξάνθος esset, at a Ξανθίας descendit Ξανθίδιον secunda longa, ut οἰκίδιον ab οἰκία, οὐσίδιον ab οὐσία, &c.") Confer χοιρίον, χοιρίδιον. Profecto saepe invectum ὦ ante vocativos ab librariis, ut infra 1273. Th. 4. In hoc autem loco additum videatur idem ab aliquo grammatico, quem offenderet producta antepenultima in Ξανθίδιον. Sed nil mutandum. Formatum est diminutivum Ξανθίδιον, non ab appellativo Ξανθίας, sed ab nomine primitivo ξανθός. Sic παππίδιον (ῐ, Eq. 1215) a πάππος, non a παππίας; μαμμίδιον a μάμμη, non a μαμμία; τὸ τοξικὸν (Lys. 462) abs τόξον, non abs τοξότης; κομψευριπικῶς (pro κομψευριπιδικῶς) a κομψὸς et Εὔριπος, non ab Εὐριπίδης. Scilicet ab adjectivo ξανθὸς deducuntur et Ξανθίας et Ξανθίδιον, ut abs substantivo πάππος παππίας (Pac. 127) et παππίδιον (Eq. 1215. Vesp. 653). Alioqui, si formatum esset Ξανθίδιον directe a Ξανθίας, longa foret antepenultima, ut in Βοιωτίδιον a Βοιώτιος (Ach. 872). Contractum enim foret ex Ξανθι-ίδιον. Ἀλκμήνης libri et vulg. Dind. Ἁλκμήνης Herwerden. Mein. Recte, opinor. Cf. ad 531.

584. θυμοῖ D.R.V.Φ. Cant. 1. 2. &c. Valck. Br. θυμεῖ A.C.E. Ald. θυμῇ F.M. Elb. Bodl. 1.

585. κἂν εἴ με τύπτοις A.R.S.Δ corr. Borg. Ald. Dind. κἂν εἴ με τύπτεις E.M.Z. (aut -οις) X. κἂν εἴμι τύπτεις D. κἂν εἴ με τύπτῃς T.Δ.Θ.Φ. Cant. 1. Bodl. 1. Suid. in οἶδ' οἶδα. κἂν εἴ γε τύπτοις V. κἂν εἴ γε τύπτοις μ' C. Br. κἂν εἴ γε τύπτεις μ' W. Elb. Cant. 2. κἂν εἴ γε τύπτῃς μ' Ω. κἂν εἰ τύπτεις μ' Y. Reponendum, ni fallor, κἂν εἴ με τύπτοις γ'. Cf. Lys. 572. κἂν ὑμῖν γ' εἴ τις ἐνῆν νοῦς . . . ἐπολιτεύεσθ' ἂν ἅπαντα. et comm. Vel κοὐδ' εἴ με τύπτοις. οὐκ ἂν ἄν γ' εἴποιμ' ἔτι V.

586. ποτ' vulg. Malim τάδ'. Cf. 600. Nisi potius τάδε pro χρόνου, quod glossema fuerit, reponendum. Cf. Pac. 1084. οὔποτε δειπνήσεις ἔτι τοῦ λοιποῦ 'ν πρυτανείῳ. Ubi non additur χρόνου. Postulari hic videtur pronomen.

589. δέχομαι τὸν ὄρνιν Lenting, coll. Pl. 63. κλάειν ἔγωγέ σοι λέγω. ΚΑ. δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ. Sine causa.

590. ἥνπερ M.R. &c. vulg. ἣν A.V.Φ.

εἶχες ἐξ ἀρχῆς πάλιν,
ἀνανεάζειν * *
καὶ βλέπειν αὖθις τὸ δεινὸν,
τοῦ θεοῦ μεμνημένον
ᾧπερ εἰκάζεις σεαυτόν.
εἰ δὲ παραληρῶν ἁλώσει
κἀκβαλεῖς τι μαλθακὸν,
αὖθις αἴρεσθαί σ᾽ ἀνάγκη
᾽σται πάλιν τὰ στρώματα.

591. ἔσχες M. Virgulam, vulgo post ἐξ ἀρχῆς positam, post εἶχες recte ponunt Th. Fr. Ko. Nullam distinctionem facit Mein. Vulgatam tuentur Dind. Bo. Bergk. Vide comm. πάλιν] πάλιν αὖ S.Δ.

592. ἀνανεάζειν A.R.S.T.V.Θ.Φ pr. m. X. Bodl. 1. Cant. 1. Harl. 1. 3. Borg. Mut. 1. ἀνανεάζειν σαυτὸν αἰεὶ M.W.Y.Z.Φ sec. m. Ω. Ald. Br. Bo. ἀνανεάζειν αὖ σεαυτὸν conj. Dobr. ἀνανεάζειν αὖ τὸ λῆμα Seidler. ἀνανεάζειν πρὸς τὸ γαῦρον Fr. ἀνανεάζειν πρὸς τὸ σοβαρὸν Mein. (ex schol. R.) "Nimirum glossator ad ἀνανεάζειν adscripserat σεαυτὸν, ratus verbum hoc activa potestate dictum esse; cetera autem πρὸς τὸ σοβαρὸν, ut passim factum est, e contextu poetae in scholion detrusa sunt." (Mein.) ἀνανεάζειν * * Dind. Ko. Bergk. Vulgata lectio Dindorfio nata videtur e v. 536. Schol. R: σεαυτὸν πρὸς τὸ σοβαρόν. Eadem glossa in Bodl. 1. Cant. 1. Harl. Pro neutro verbo ἀνανεάζειν habet Fritzchius. Νεάζειν certe neutrum est Aesch. Ag. 764. Soph. Tr. 143. Oed. C. 374. Eur. Phoen. 713. Menand. Fr. Inc. 190. Anth. P. XI. 256. Ita etiam ἀκμάζειν.

593. τὸ δεινὸν M.R.V.W.Y.Z.Φ. &c. vulg. εἰς τὸ δεινὸν A. Fortasse τι δεινόν. Sed cf. 64. τὸ σαφές.

594. ὥσπερ εἰκ. A. εἰκάζει F. εἰ δὲ D.M.R.S.T.V.W.Y.Z.Δ.Θ.X.Ω. Mut. 1. ἢν δὲ A.Φ. καὶ add. X. ἁλώσει R.W.Δ corr. Θ.X. Cant. 1. 2. Harl. 3 corr. Ald. ἁλώσῃ M.S.T.V.Y.Z.Δ. Mut. 1. Bodl. 1. Elb. ἀλῷς Φ. ἀλῶς A. Urb. Harl. 1. (supr. ει) 3. ἀλωσσῃ (i. e. ἀλῶς et ἁλώσῃ) Ω. Qu. ἢν δὲ παραληρῶν ἁλῷς τι | κἀνδιδοὺς (vel κἀνδιδῷς) τι μαλθακόν. Cf. Pl. 488. μαλακὸν δ᾽ ἐνδώσετε μηδέν. Eur. Hel. 509. ἢν δ᾽ ἐνδιδῷ τι μαλθακόν.

595. καὶ βαλεῖς T.Y.Z. et gl. Cant. 1. Dind. καὶ βάλεις D. (aut καὶ βαλεῖς) Bodl. 1. καὶ βάλῃις R. καὶ βάλῃς Cant. 1. 2. Ald. Br. καὶ βάλῃς A.M.W. Φ.X.Ω. Med. 4. καί τι βάλῃς S. καὶ βάλλῃς Δ.Θ. Mut. 1. κἀκβάλῃις V. κἀκβαλεῖς Herm. Th. Fr. Ko. Bergk. Mein. Lud. Dind. in Thes. Gr. V. 553. Recte proculdubio. Vide comm.

596. σ᾽] ᾽σθ᾽ Y. σε πάλιν (om. ἀνάγκη ᾽στὶν) A. ἀνάγκη τις C.E.M.W.Y.Ω. Cant. 2. Ald. Br. Both. Thiersch. ἀνάγκη tantum D.R.S.T. Z.Θ.Φ.X. Mut. 1. Bodl. 1. Cant. 1. Harl. 3. ἀνάγκη ᾽στι V. Bekk. om. A. ἀνάγκη ᾽στὶν Bentl. Dind. Fr. ἀνάγκη ᾽σται Dawes. p. 237. Ko. Mein. Dind. ἀνάγκη ᾽σται Bergk. Correctio minime dubia. ἔσται in ἔστι corruptum etiam Pl. 531. Eccl. 689. In Aeschyli Eum. 217. ὅρκου ᾽στὶ μείζων reposuit Porsonus pro ὅρκος τις μείζων. In Amipsia Athenaei p. 270 F. σοῦστιν idem pro σοί τις. τὰ om. S.V. σκεύη pro στρώματα S.

ΞΑ. οὐ κακῶς, ὦνδρες, παραινεῖτ',
ἀλλὰ καὐτὸς τυγχάνω ταῦτ'
ἄρτι συννοούμενος.
ὅτι μὲν οὖν, ἦν χρηστὸν ᾖ τι,
ταῦτ' ἀφαιρεῖσθαι πάλιν πει-
ράσεταί μ' εὖ οἶδ' ὅτι.
ἀλλ' ὅμως ἐγὼ παρέξω
'μαυτὸν ἀνδρεῖον τὸ λῆμα
καὶ βλέποντ' ὀρίγανον.
δεῖν δ' ἔοικεν, ὡς ἀκούω
τῆς θύρας καὶ δὴ ψόφον.
ΑΙ. ξυνδεῖτε ταχέως τουτονὶ τὸν κυνοκλόπον,
ἵνα δῷ δίκην· ἀνύετον. ΔΙ. ἥκει τῳ κακόν.
ΞΑ. οὐκ ἐς κόρακας; οὐ μὴ πρόσιτον; ΑΙ. εἶεν, μαχεῖ;
ὁ Διτύλας χὠ Σκεβλύας χὠ Παρδόκας

597. ὦ'νδρες A. ἄνδρες D.
598. ἄρτι συννοούμενος ταῦθ' Φ. et v. l. in Bodl. 1.
599. ὅτι] Qu. ὅδε ob sequens ὅτι. Cf. ad 600. τι om. Φ.
600. ταῦτ' vulg. Dind. &c. τοῦτ' R. Ko. Cf. omnino 586.
603. καὶ (ante βλεπ.) om. A.
604. δεῖν θ' D. ψόφον M.R.V.Φ. vulg. ψόφου A. Mut. 1.
605. συνδεῖτε A. ξυνδεῖ Elb.
606. ἀνύετον] Fort. ἀνύσαντες. Vel ἀνύσατον. Cf. Vesp. 1168. ἄνυσόν ποθ' ὑποδησάμενος. Av. 242. ἀνύσατε πετόμενα &c. Eq. 1107. ἀνύσατέ νυν ὅ τι περ ποιήσεθ'. Vix enim ἀνύτετον reponendum crediderim. Cf. ad Pl. 413. 607. τῶ A. κακόν τῷ Bodl. 1.
607. οὐκ ἐς κόρακας; μὴ πρόσιτον. ΑΙ. εἶεν καὶ μάχει; vulg. Bo. Fr. Bergk. Ko. Mein. et (μαχεῖ) Th. οὐκ ἐς κόρακας; οὐ μὴ πρόσιτον; ΑΙ. εἶεν μάχει; Elmsl. ad Eur. Med. 1120. et (μαχεῖ) Dind. Ita quidem excidisse putanda erit particula οὐ, deinde metri ruentis sustinendi causa interpolatum καί. "Nec senarius talis [qualem finxit Elmsleius] probari potest, ut docui ad v. 488; neque καὶ expungi, quo nihil est aptius." FRITZCH. Mihi quidem vera scriptura videtur haec esse, ἐς κόρακας. οὐ μὴ πρόσιτον; ΑΙ. εἶεν, καὶ μαχεῖ; Particulam οὐ transposuisse videtur grammaticus aliquis, qui parum intelligeret structuram οὐ μὴ προσιτον; Locutio autem solennis est ἐς κόρακας. Quanquam etiam οὐκ ἐς κόρακας; legitur Pl. 394. Nub. 871. Possis etiam non male, οὐκ ἐς κόρακας; οὐ μὴ πρόσιτον; ἢ καὶ μάχει; μάχει A.R.T.V.Φ.X.Ω. vulg. Fr. Ko. Mein. μάχῃ M.W.Y.Z. Elb. μαχεῖ Th. Dind. Cf. Eq. 416. μαχεῖ (μάχει libri) σὺ κυνοκεφάλλῳ; Vesp. 191. περὶ τοῦ μαχεῖ (μάχει aliquot libri) νῷν δῆτα; Lys. 910. σὺ δ' οὐ κατακλίνει (-κλινεῖ plur.). Av. 759. αἶρε πλῆκτρον, εἰ μάχει. Eur. Iph. A. 1244. καὶ μαχεῖ (ita Elmsl. μάχει aut μάχῃ vulg.) πολλοῖσιν εἷς; Soph. Oed. C. 837. πόλει μαχεῖ (μάχῃ libri) τἄρ', εἴ τι πημανεῖς (πημαίνεις libri) ἐμέ.
608-9. in marginem rejecit Mein. "Aeacus cum duobus satellitibus in

χωρεῖτε δευρὶ καὶ μάχεσθε τουτῳί.
ΔΙ. εἶτ' οὐχὶ δεινὰ ταῦτα, τύπτειν τουτονὶ
κλέπτοντα πρὸς τἀλλότρια; ΑΙ. μάλλ' ὑπερφυᾶ.
ΔΙ. σχέτλια μὲν οὖν καὶ δεινά. ΞΑ. καὶ μὴν νὴ Δία,
εἰ πώποτ' ἦλθον δεῦρ', ἐθέλω τεθνηκέναι,
ἢ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.
καί σοι ποιήσω πρᾶγμα γενναῖον πάνυ·
βασάνιζε γὰρ τὸν παῖδα τουτονὶ λαβών,
κἤν ποτέ μ' ἕλῃς ἀδικοῦντ', ἀπόκτεινόν μ' ἄγων.

scenam proruperat, eosque Xanthiam Dionysi habitu indutum vincire jusserat. En subito tres prodeunt! Quae quidem res tanto difficiliorem explicationem habet, cum priores illi et ipsi in scena praesentes adsint. Non dubitavi tollere hos versus ex alia fabulae recensione servatos. Sublatis illis versibus ipse vides quam recte omnia procedant. Aliam viam ingressus est Hamaker."

608. Διτύλας A.M.V.Φ. &c. vulg. διτύχας R. δ' ἰτύλας (sic) Mut. 1. Cant. 1. 2. Junt. χ' ὠ bis A. χώ Cant. 1. 2. Σκεβλύας R.T.V.W.Z. Cant. 1. 2. Elb. Borg. Ald. Dind. Fr. Ko. Bergk. Mein. Σκεβλίας A.M.S.Y.Φ. Br. Th. Fort. Σκελλίας, quod nomen barbarum legitur Av. 126. et Plut. V. Anton. 66. Vel Σκυλλίας, quod nomen proprium memoratur Herod. VIII. 8. et in Tab. XLVII. Rose. Μιλύας servi nomen est Dem. p. 846. Μαδύης (Μαδύας) et Πρωτοθύης Scytharum reges commemorantur Herod. I. 103.

Παρδόκας] σπαρδόκας unus V. Et quidem recte, ni fallor; nisi potius reponendum est Σπαρδάκας. Confer Thuc. II. 101. Σεύθου τοῦ Σπαρδάκου (sic plures libri et Goeller. Bekker. σπαρδόκου alii, σπαραδόκου vulg.). Idem, ut videtur, nomen est Latinum *Spartacus*. Cum Παρδόκας nomen regis Thracum Μηδόκης comparat Bergk. Comm. p. 312. Μήδοκος nomen regis Odrysarum est Xen. An. VII. 2. 33. 'Αμάδοκος Thracis nomen ap. Dem. p. 623. Similis formae nomen est Πιττάλακος (δημόσιος δοῦλος τῆς πόλεως, ergo Scytha, opinor) ap. Aeschin. Or. 1.

609. δευρὶ A.M.V.Φ. vulg. δεῦρο R. Fr. Ko.

610. ΑΙ. in V.

611. πρὸς τἀλλότρια A.V. &c. vulg. πρός τ' ἀλλότρια R. Both. Thiersch. τ' ἀλλότρια (om. πρὸς) Med. 4. πρός γ' ἀλλότρια Reisig. ad Oed. C. p. 308. προσέτ' ἀλλότρια Fritzch. (coll. 490. Ach. 946. Av. 855. Idem tamen fatetur τἀλλότρια defendi Equitum versu 391.) ΞΑ. vulg. Dind. ΔΙ. V. ΑΙ. Dobr. Fr. Bergk. Ko. Mein. μάλ' A.R.S.T.V.W.Y.Z.Θ.Φ.X. Mut. 1. Cant. 1. 2. Med. 4. schol. Ald. Br. μάλλ' Δ.Ω. μὴ ἀλλ' M. Th. Weis. μάλλ' Bentl. (ex schol.) Dobr. Dind. recc. μάλα γ', non obstantibus veteribus magistris, scripserit Lenting. et hic et 103. 745. 751. Cf. Schol: συναλοιφῆς οὔσης ἐκ τῆς μὴ καὶ ἀλλά.

612. ΔΙ. praef. C.E. Elb. Dobr. Fr. Bergk. Ko. ΑΙ. A.D.R.V. &c. vulg. Dind. ΞΑ. Mein. (Xanthiae continuans verba καὶ μὴν &c.)

613. εἴ πω πότ' A.

614. ἢ 'κλεψα (sic) A. 615. ποήσω A.

617. κἂν vulg. Dedi κἤν. ποτ' ἔμ' M.

ΑΙ. *καὶ πῶς βασανίσω; ΞΑ. πάντα τρόπον, ἐν κλίμακι*
δήσας, κρεμάσας, ὑστριχίδι μαστιγῶν, δέρων,
στρεβλῶν, ἔτι δ' ἐς τὰς ῥῖνας ὄξος ἐγχέων,
πλίνθους ἐπιτιθεὶς, πάντα τἄλλα, πλὴν πράσῳ
μὴ τύπτε τοῦτον μηδὲ γητείῳ νέῳ.
ΑΙ. *δίκαιος ὁ λόγος· κἢν τι πηρώσω γέ σοι*
τὸν παῖδα τύπτων, τἀργύριόν σοι κείσεται.
ΞΑ. *μὴ δῆτ' ἔμοιγ'· οὕτω δὲ βασάνιζ' ἀπαγαγών.*
ΑΙ. *αὐτοῦ μὲν οὖν, ἵνα σοὶ κατ' ὀφθαλμοὺς λέγῃ.*
κατάθου σὺ τὰ σκεύη ταχέως, χὤπως ἐρεῖς
ἐνταῦθα μηδὲν ψεῦδος. ΔΙ. ἀγορεύω τινὶ
ἐμὲ μὴ βασανίζειν ἀθάνατον ὄντ'· εἰ δὲ μὴ,
αὐτὸς σεαυτὸν αἰτιῶ. ΑΙ. λέγεις δὲ τί;
ΔΙ. *ἀθάνατος εἶναί φημι Διόνυσος Διὸς,*
τοῦτον δὲ δοῦλον. ΑΙ. ταῦτ' ἀκούεις; ΞΑ. φήμ' ἐγώ.
καὶ πολύ γε μᾶλλόν ἐστι μαστιγωτέος·
εἴπερ θεὸς γάρ ἐστιν, οὐκ αἰσθήσεται.
ΔΙ. *τί δῆτ', ἐπειδὴ καὶ σὺ φῄς εἶναι θεὸς,*
οὐ καὶ σὺ τύπτει τὰς ἴσας πληγὰς ἐμοί;

618. *βασανίσω* D.V. Cant. 1. 2. Dind. Fr. Mein. prob. Porson. ad Phoen. 740. Cobet. V. L. p. 178. *βασανίζω* A.C.E.M.R.Φ. Mut. 1. Suid. in *βασανίζειν.* vulg. Th. Fr. Ko. Bergk.

619. *μαστίγων* Mut. 1.

620. *ἔτι δ' ἐς τὰς* R.V. et Suid. in *βασανίζειν* et *κλιμακίζειν.* Dawes. p. 438. Bekk. Dind. recc. *ἐπὶ τ' ἐς τὰς* Borg. *ἐπί τε τὰς* A.M.S.T.W.Y.Z.Δ.Θ.Φ.X.Ω. Mut. 1. Med. 4. Cant. 1. 2. *ἐς* R.V. Borg. Suid. in *κλιμ.* Dind. Bergk. Mein. *εἰς* Suid. in *βασ.* et *κλιμ.* Dawes. Fr. Ko.

623. *κἢν* V. *κἂν* reliqui et vulg.

625. *δι.* praef. A. Urb. *ἔμοιγ'· οὕτω* M.R.S.T.V.W.Y.Z.Δ marg. *ἐμέ γε· τοῦτον* A.E.Φ. Urb. v. l. in schol. *ἔμοιγε· τοῦτον* Δ.Θ.X. Mut. 1. *ἔμοιγ'· οὗτος* male Tyrwhitt. Pors.

626. ΑΙ. om. A. *αὐτοῦ* M.R.S.T.V.W.Y.Z.Δ.Θ corr. sec. m. X.Ω. *αὐτὸν* A.Θ.Φ. Mut. 1. Urb.(?) et v. l. ap. schol. *σοι* A.M.R.Φ. &c. vulg. *σου* V. *μοι* D. *ὀφθαλμῶν* Mut. 1.

627. *ταχέως τὰ σκεύη* A.M. *χ' ὤπως* A.

629. *ἀθάνατόν γ' ὄντ'* Cant. 1. *ὄντα* A.

630. *αὐτὸς σεαυτὸν* A.R.S.Z.Δ.Θ.Φ. Urb. Med. 4. Dind. Bekk. recc. *αὐτὸς ἑαυτὸν* V. Borg. *αὐτὸς σὺ σαυτὸν* M.Θ corr. sec. m. Ω. vulg. *αὐτὸς σαυτὸν* T.Y.X. Bodl. 1.

631. *εἶναι φημὶ* A.

632. *τὸν δὲ δοῦλον* M. Elb. *φῆμ'* A.

634. Qu. *θεὸς γὰρ εἴπερ ἐστίν.*

636. *τύπτει* A.M.S.Φ. *τύπτῃ* Y.Z.X.Ω. Qu. *τίψει.*

ΞΑ. δίκαιος ὁ λόγος· χὠπότερόν γ' ἂν νῷν ἴδῃς
κλαύσαντα πρότερον ἢ προτιμήσαντά τι
τυπτόμενον, εἶναι τοῦτον ἡγοῦ μὴ θεόν.
ΑΙ. οὐκ ἔσθ' ὅπως οὐκ εἶ σὺ γεννάδας ἀνήρ·
χωρεῖς γὰρ ἐς τὸ δίκαιον. ἀποδύεσθε δή.
ΞΑ. πῶς οὖν βασανιεῖς νὼ δικαίως; ΑΙ. ῥᾳδίως·
πληγὴν παρὰ πληγὴν ἑκάτερον. ΞΑ. καλῶς λέγεις.
ΑΙ. ἰδού. ΞΑ. σκόπει νυν ἤν μ' ὑποκινήσαντ' ἴδῃς.
ΑΙ. ἤδη 'πάταξά σ'. ΞΑ. οὐ μὰ Δί'. ΑΙ. οὐδ' ἐμοὶ δοκεῖ.
ἀλλ' εἶμ' ἐπὶ τονδὶ καὶ πατάξω. ΔΙ. πηνίκα;

637. χ' ὠπότερον A. γ' add. D.R.T.V.Y. Borg. Cant. 1. Harl. 1. 3. Bekk. Bo. Th. Fr. Ko. Mein. om A.M.S.W.Z.Φ.Ω. Ald. Br. Dind. Bergk. γε Mut. 1. Recte additur particula. Cf. 623. δίκαιος ὁ λόγος· κἤν τι πηρώσω γέ σοι &c. ἴδῃς A.D.R.S.T.V.Φ.X. Cant. 1. 2. Bodl. 1. ἴδοις M.Ω. Harl. 1. Ald.

639. εἶναι . . . ἡγοῦ] Melior collocatio, opinor, foret ἡγοῦ . . . εἶναι.

640. σὺ om. Bodl. 1.

641. χωρεῖς] Qu. ὁρᾷς vel βλέπεις. ἐς Φ.(?) Bodl. 1. Dind. εἰς A.R.V. vulg.

642. et Dionyso et Xanthiae tribuit R. (διο, ξθ,). καὶ πῶς οὖν Cant. 1. Fort. καὶ πῶς (om. οὖν) . . . νῶ A.

643. Fort. πληγῇ παρὰ πληγήν.

644. ἰδού, σκόπει νῦν ἤν μ' ὑποκινήσαντ' ἴδῃς (Xanthiae continuatum) A.R.Φ. Cant. 1. Urb. Suid. in ὑποκινήσαντα. et (νυν) Th. Fr. Ko. Bergk. Mein. ἰδού, σκόπει νῦν ἤν μ' ἀποκινήσαντ' ἴδῃς F.V. Bodl. 1. ἰδού, σκόπει νῦν ἤν με παρακινήσαντ' ἴδῃς M. Mut. 1. Borg. et (aliter distrib. pers.) D. ἰδοὺ σκόπει γ' ἤν με πεpακινήσαντ' ἴδῃς C. Cant. 2. Harl. 3. Ald. et (om. γ') C.E. ἰδού, σκόπει νῦν μ' ἢν παρακινήσαντ' ἴδῃς Dobr. ΑΙ. ἰδού. ΞΑ. σκόπει νῦν (νυν Dind.) ἤν μ' ὑποκινήσαντ' ἴδῃς Br. Dind. Recte. "In D. Aeaco tributum ἰδού, Xanthiae σκόπει νῦν ἤν με παρακινήσαντ' ἴδῃς. Eadem distinctio fuisse videtur in codice, e quo descriptus fuit A. Nam in eo post ἰδοὺ vacuum relictum spatium, quantum satis est personæ nomini, et ante ἰδοὺ est ξ, initium nominis Ξανθίας, quod non absolvit librarius, postquam scripta jam prima litera errorem suum deprehendit: Αἰακὸς scribere debuit. Profecto unice vera est illa distinctio, quam juvat actio scenæ, multo sic lepidior. 'Ἰδοὺ dicit Aeacus, elato brachio et in plagam inflicturi statu." BR. Scribendum forsan ΑΙ. ἰδού. ΞΑ. σκόπει νυν· ἤν μ' ὑποκινήσαντ' ἴδῃς . . .

645. ΞΑ. ἤδη 'πάταξας; ΑΙ. οὐ μὰ Δί'. ΞΑ. οὐδ' ἐμοὶ δοκεῖς Fr. (Qui inverso ordine exhibet vv. 645-6.) ΑΙ. ἤδη 'πάταξά σ'. ΞΑ. οὐ μὰ Δί', οὐκ ἐμοὶ δοκεῖς Bo. Ko. Dind. ΑΙ. ἤδη 'πάταξά σ'; ΞΑ. οὐ μὰ Δί' οὐκ ἐμοὶ δοκεῖς Mein. σε pro σ' M. οὐγ' D. δοκεῖς libri et vulg. δοκεῖ vel δοκῶ Bentl. δοκῶ vel δοκεῖν Reisk. Cf. 918. ἠλίθιος γὰρ ἦσθα, | σάφ' ἴσθι. ΔΙ. κἀμαυτῷ δοκῶ. 1220. ὑφέσθαι μοι δοκεῖ (δοκεῖς libri). Eq. 1311. καθῆσθαί μοι δοκεῖ (δοκῶ libri et Suid.). Av. 1578. ἄγχειν μοι δοκεῖ (δοκῶ, supr. εῖ, Voss.). Verum videtur δοκεῖ. Cf. Pl. 409. ἀλλ' οὐκ ἔστιν . . . Οὐδ' ἐμοὶ δοκεῖ.

646. ΑΙ. ἀλλ' εἶμ' . . . Bo. Ko. Mein.

ΑΙ. *καὶ δὴ 'πάταξα.* ΔΙ. *κᾆτα πῶς οὐκ ἔπταρον;*
ΑΙ. *οὐκ οἶδα· τουδὶ δ' αὖθις ἀποπειράσομαι.*
ΞΑ. *οὔκουν ἀνύσεις τι; ἀτταταῖ.* ΑΙ. *τί τἀτταταῖ;*
μῶν ὠδυνήθης; ΞΑ. *οὐ μὰ Δί', ἀλλ' ἐφρόντισα*
ὁπόθ' Ἡράκλεια τἀν Διομείοις γίγνεται.
ΑΙ. *ἄνθρωπος ἱερός. δεῦρο πάλιν βαδιστέον.*
ΔΙ. *ἰοὺ ἰού.* ΑΙ. *τί ἔστιν;* ΔΙ. *ἱππέας ὁρῶ.*
ΑΙ. *τί δῆτα κλάεις;* ΔΙ. *κρομμύων ὀσφραίνομαι.*
ΑΙ. *ἐπεὶ προτιμᾷς γ' οὐδέν.* ΔΙ. *οὐδέν μοι μέλει.*
ΑΙ. *βαδιστέον τἄρ' ἐστὶν ἐπὶ τουδὶ πάλιν.*

647. Fort. *ἤδη 'πάταξα*, ut supra. 648. *τουδί*] *τουτὶ* Bodl. 1.

649. *ἀνύσεις* vulg. Dind. Fr. Bergk. Mein. *ἀνύσεις τι* Thiersch. Meier. Kock. *ἰατταταί. Αἰ. τί δὴ ταταί;* W. Mut. 1. Ald. *ἰατταταί. Αἰ. τί ταταί;* T.Y. Bodl. 1. *ἰατταταί* (*ἰαταττaί* Ω.). *Αἰ. τί δ' ἰατταταί;* E.M.Ω. Br. Bo. *ἰατταταί. Αἰ. τί ἰατταταί;* S.Δ.Φ corr. *ἰαταταί. τί ἰαταταί;* (*Αἰ. τί ἀττaταί* in marg.) A. et (add. *Αἰ.*) D. *ἀτταταί. Αἰ. τί γ' ἀτταταί* (corr. *τί ἰαττ.*); X. *ἰαταταὶ ἰαταταί. τί ἀτταταί* Borg. *τί ταττaταῖ. Αἰ. τί ταττaταῖ* V. *ἰατταττaττaττaτταί* (nihil aliud) R. *ἰατταταὶ ἰατταταί* (sic) Z. (ΑΙ. om. A. Mut. 1. alii.) *ἰατταταῖ.* ΑΙ. *τί τἀτταταῖ;* Dind. Bergk. *οὔκουν ἀνύσεις; ἰατταταί, ἰατταταί.* ΑΙ. *μῶν . . .* Dobraeus et (*ἰατταταῖ ἰατταταῖ*) Mein. *οὔκουν ἀνύσεις; ἰατταταττaταττaταῖ* Fr. *οὔκουν ἀνύσεις τι; ἀτταταῖ. Αἰ. τί τἀτταταῖ;* Th. Meier. Kock. Idem ipse conjeceram. Possis etiam . . . *τί ἀτταταῖ;* Cf. ad 1296. Vel *οὔκουν ἀνύσεις τι; ἀτταταῖ ἰατταταῖ.* | ΑΙ. *μῶν . . .;* Sic *ἰαιβοῖ αἰβοῖ* Vesp. 1337. Hoc saltem constat, Xanthiae exclamationem nulla litera mutata iterare oportere Aeacum, ut monuerunt Br. Th.

650. *οὐ μὰ Δί', ἀλλ' ἐφρόντισα* | *ὁπόθ' . . . γίγνεται*] Scribendum suspicor *οὐ μὰ Δί' οὐδ' ἐφρόντισα.* | *πόθ'* (vel *πότε δ'*) *Ἡράκλεια . . . γίγνεται;* Cf. 493. *σὺ δ' οὐκ ἔδεισας . . .;* ΞΑ. *οὐ μὰ Δί' οὐδ' ἐφρόντισα.* Pl. 704. *αὐτὸς δ' ἐκεῖνος;* ΚΑ. *οὐ μὰ Δί' οὐδ' ἐφρόντισεν.* Alioqui imperfectum *ἐφρόντιζον* potius quam aoristus ponendum fuisset. Cf. tamen Nub. 724. *καὶ τί δῆτ' ἐφρόντισας;*

651. *γίγνεται* A.R.V.Φ. Bodl. 1. *γίνεται* M.

652. *ἄνθρωπος* libri et vulg. Fr. Ko. Bergk. *ἅνθρωπος* Dind. Mein. Recte, opinor. Similiter Av. 1009. *ἄνθρωπος* (*ἅν.*?) *Θαλῆς.*

653. *τί ἐστιν* A. *ἱππέας* A.R.V.Φ. Cant. 1. Bodl. 1. schol. Br. *ἱππέας γ'* M. Cant. 2. Mut. 1. Ald. Moeris p. 204. *ἱππέας, μακρῶς Ἀττικῶς· βραχέως Ἑλληνικῶς.* Sic ultima producitur in *ἱερέας* Anaxandr. ap. Athen. 300 A. *τοὺς ἱερέας ἐνθάδε μὲν . . .* ΑΙ.] ΞΑ. Fr.

654. *κλάεις* A.R.V.Φ. Cant. 1. &c. *κλαίεις* M. &c.

655. *ἐπεὶ προτιμᾷς γ'* R.S.T.V.Y.X. Borg. Cant. 1. Harl. 1. 3. Dind. Th. Ko. Mein. Elmsl. ad Ach. 178. *ἐπεὶ προτιμᾷς* M.W.Ω. Cant. 2. Bodl. 1. Fr. *ἐπεὶ προστιμᾷς τ'* A. (-ᾶς) D. *ἔπειτα προτιμᾷς γ'* Y.Φ. Ald. *ἔπειτα προτιμᾷς* C.E. Mut. 1. Br. *εἴπ' εἰ προτιμᾷς* Bergk. Ita Fritzchius: *ἐπεὶ προτιμᾷς οὐδὲν, οὐδ' ἐμοὶ μέλει,* Baccho his continuatis.

656. *τἄρ'* Z.Φ. Elmsl. ad Ach. 323. Dind. Ko. Bergk. Mein. *τ' ἄρ'* V. Br. Th. *γ' ἄρ'* M.Δ. (*γ'* in ras.) Θ corr. *γάρ* C.E.W.Ω. Cant. 1. 2. Harl. 1. 3.

ΞΑ. οἴμοι. ΑΙ. τί ἔστι; ΞΑ. τὴν ἄκανθαν ἔξελε.
ΑΙ. τί τὸ πρᾶγμα τουτί; δεῦρο πάλιν βαδιστέον.
ΔΙ. Ἄπολλον, ὅς που Δῆλον ἢ Πύθων᾽ ἔχεις.
